GREEK SERIES · VOLUME 70

The Greek Anthology

ΕΠΙΓΡΑΜΜΑΤΑ ΕΠΙΤΥΜΒΙΑ
ΕΠΙΓΡΑΜΜΑΤΑ ΠΡΟΤΡΕΠΤΙΚΑ

The Greek Anthology

Part Two: Books VII and X

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 70 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Paton's Loeb text, 1917–1918.
Eight epigrams of Books VII and X are not printed.

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

CONTENTS

BOOK VII: THE SEPULCHRAL EPIGRAMS

Epigrams 1–14 11
Epigrams 15–37 20
Epigrams 38–58 29
Epigrams 59–75 39
Epigrams 76–93 47
Epigrams 94–114 56
Epigrams 115–137 65
Epigrams 138–155 75
Epigrams 156–168 84
Epigrams 169–183 92
Epigrams 184–199 101
Epigrams 200–214 109
Epigrams 215–227 118

BOOK VII: THE SEPULCHRAL EPIGRAMS

(continued)

Epigrams 228–244 126
Epigrams 245–267 135
Epigrams 268–285 144
Epigrams 286–299 152
Epigrams 300–321 161
Epigrams 322–338 171
Epigrams 339–354 181
Epigrams 355–372 189
Epigrams 373–385 199
Epigrams 386–400 207
Epigrams 401–412 215
Epigrams 413–424 224
Epigrams 425–432 232
Epigrams 433–450 239
Epigrams 451–468 248
Epigrams 469–480 257
Epigrams 481–497 265
Epigrams 498–514 274
Epigrams 515–533 282
Epigrams 534–548 291
Epigrams 549–563 299

BOOK VII: THE SEPULCHRAL EPIGRAMS

(continued)

Epigrams 564–579 308
Epigrams 580–597 317
Epigrams 598–613 326
Epigrams 614–629 335
Epigrams 630–644 344
Epigrams 645–658 352
Epigrams 659–679 360
Epigrams 680–697 370
Epigrams 698–710 379
Epigrams 711–726 387
Epigrams 727–741 396
Epigrams 742–748 405

BOOK X: THE HORTATORY AND ADMONITORY EPIGRAMS

Epigrams 1–12 411
Epigrams 13–26 419
Epigrams 27–50 427
Epigrams 51–66 437
Epigrams 67–81 446
Epigrams 82–102 455
Epigrams 103–126 465

ΕΠΙΓΡΑΜΜΑΤΑ ΕΠΙΤΥΜΒΙΑ

Book VII: The Sepulchral Epigrams

EPIGRAMS 1–14

Book VII, the sepulchral epigrams, opens with the poets. Homer lies on little Ios: the Nereids anointed his body with nectar, since he sang Thetis, Achilles, and Odysseus, and laid it under a rock on the shore, and the island boasts of holding him; if so small an island holds so great a man, the stranger is not to wonder, since wandering Delos once received Leto's son. Homer himself denies that he is a Salaminian or the son of Meles. Orpheus is dead, and oaks, rocks, and beasts no longer follow his lyre; his tomb lies under Olympus, and the Bistonian women and the Muses weep for him. Erinna's small work outweighs many long poems, and Hades snatched her to marriage. Sappho lies in Aeolian earth, a mortal Muse among the immortal ones.

1. ΑΛΚΑΙΟΥ ΜΕΣΣΗΝΙΟΥ

1 of-Alcaeus of-Messene

Ἡρώων τὸν ἀοιδὸν Ἴῳ ἔνι παῖδες Ὅμηρον
Of-heroes the singer Ios in boys Homer
ἤκαχον, ἐκ Μουσέων γρῖφον ὑφηνάμενοι·
grieved from of-the-Muses riddle having-woven
νέκταρι δ' εἰνάλιαι Νηρηΐδες ἐχρίσαντο,
with-nectar and sea Nereids anointed
καὶ νέκυν ἀκταίῃ θῆκαν ὑπὸ σπιλάδι,
and corpse on-the-shore laid under rock
ὅττι Θέτιν κύδηνε καὶ υἱέα, καὶ μόθον ἄλλων
because Thetis he-glorified and son and battle of-other
ἡρώων, Ἰθακοῦ τ' ἔργματα Λαρτιάδεω.
heroes of-the-Ithacan and deeds of-Laertes'-son

ὀλβίστη νήσων πόντῳ Ἴος, ὅττι κέκευθε
most-blessed of-islands in-sea Ios because holds
βαιὴ Μουσάων ἀστέρα καὶ Χαρίτων.
small of-Muses star and of-Graces

2. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

2 of-Antipater of-Sidon

Τὰν μερόπων Πειθώ, τὸ μέγα στόμα, τὰν ἴσα Μούσαις
The of-mortals Persuasion the great mouth the equal to-Muses
φθεγξαμέναν κεφαλάν, ὦ ξένε, Μαιονίδεω
having-sounded head O stranger of-Maeonides
ἅδ' ἔλαχον νασῖτις Ἴου σπιλάς· οὐ γὰρ ἐν ἄλλᾳ
this I-got island of-Ios rock not for in other
ἱερόν, ἀλλ' ἐν ἐμοί, πνεῦμα θανὼν ἔλιπεν,
holy but in me breath dying he-left
ᾧ νεῦμα Κρονίδαο τὸ παγκρατές,
by-whom nod of-the-son-of-Cronus the almighty
ᾧ καὶ Ὄλυμπον
by-whom also Olympus
καὶ τὰν Αἴαντος ναύμαχον εἶπε βίαν,
and the of-Ajax sea-fighting told strength
καὶ τὸν Ἀχιλλείοις Φαρσαλίσιν Ἕκτορα, πώλοις
and the by-Achillean by-Pharsalian Hector by-horses
ὀστέα Δαρδανικῷ δρυπτόμενον πεδίῳ.
bones on-Dardanian being-torn plain
εἰ δ' ὀλίγα κρύπτω τὸν ταλίκον, ἴσθ' ὅτι κεύθει
if but little I-hide the so-great know that holds
καὶ Θέτιδος γαμέταν ἁ βραχύβωλος Ἶκος.
also of-Thetis husband the small-clodded Icos

2 b. ΑΛΛΟ

2 b another

Εἰ καὶ βαιὸς ὁ τύμβος, ὁδοιπόρε, μή με παρέλθῃς,
If even small the tomb wayfarer not me pass-by
ἀλλὰ κατασπείσας, ἶσα θεοῖσι σέβου·
but having-poured-libation equally with-gods revere
τὸν γὰρ Πιερίδεσσι τετιμένον ἔξοχα Μούσαις
the for by-Pierian honored above-all by-Muses
ποιητὴν ἐπέων θεῖον Ὅμηρον ἔχω.
poet of-epic divine Homer I-hold

3. ΑΔΗΛΟΝ

3 uncertain

Ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει,
Here the holy head down earth covers
ἀνδρῶν ἡρώων κοσμήτορα, θεῖον Ὅμηρον.
of-men of-heroes marshal divine Homer

4. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ

4 of-Paul the-Silentiary

Ἐνθάδε Πιερίδων τὸ σοφὸν στόμα, θεῖον Ὅμηρον,
Here of-the-Pierides the wise mouth divine Homer
κλεινὸς ἐπ᾽ ἀγχιάλῳ τύμβος ἔχει σκοπέλῳ.
famous on sea-near tomb holds on-rock
εἰ δ᾽ ὀλίγη γεγαυῖα τόσον χάδεν ἀνέρα νῆσος,
if but small being so-great held man island
μὴ τόδε θαμβήσῃς, ὦ ξένε, δερκόμενος·
not this marvel O stranger looking

καὶ γὰρ ἀλητεύουσα κασιγνήτη ποτὲ Δῆλος
also for wandering sister once Delos
μητρὸς ἀπ᾽ ὠδίνων δέξατο Λητοΐδην.
of-mother from travail received the-son-of-Leto

5. ΑΔΗΛΟΝ, οἱ δὲ φασὶν ΑΛΚΑΙΟΥ

5 uncertain the(-others) and say of-Alcaeus

Οὐδ᾽ εἴ με χρύσειον ἀπὸ ῥαιστῆρος Ὅμηρον
Not-even if me golden from hammer Homer
στήσητε φλογέαις ἐν Διὸς ἀστεροπαῖς,
you-set-up flaming in of-Zeus lightnings
οὐκ εἴμ᾽ οὐδ᾽ ἔσομαι Σαλαμίνιος, οὐδ᾽ ὁ Μέλητος
not I-am nor I-will-be Salaminian nor the of-Meles
Δμησαγόρου· μὴ ταῦτ᾽ ὄμμασιν Ἑλλὰς ἴδοι.
of-Dmesagoras not these-things with-eyes Hellas may-see
ἄλλον ποιητὴν βασανίζετε· τἀμὰ δέ, Μοῦσαι
other poet examine my but Muses
καὶ Χίος, Ἑλλήνων παισὶν ἀείσετ᾽ ἔπη.
and Chios of-Greeks to-children will-sing words

6. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

6 of-Antipater of-Sidon

Ἡρώων κάρυκ᾽ ἀρετᾶς, μακάρων δὲ προφήταν,
Of-heroes herald of-valor of-blessed and prophet
Ἑλλάνων βιοτᾷ δεύτερον ἀέλιον,
of-Greeks for-life second sun

Μουσῶν φέγγος Ὅμηρον, ἀγήραντον στόμα κόσμου
of-Muses light Homer ageless mouth of-world
παντός, ἁλιρροθία, ξεῖνε, κέκευθε κόνις.
whole sea-beaten stranger holds dust

7. ΑΛΛΟ

7 another

Ἐνθάδε θεῖος Ὅμηρος, ὃς Ἑλλάδα πᾶσαν ἄεισε,
Here divine Homer who Hellas all sang
Θήβης ἐκγεγαὼς τῆς ἑκατονταπύλου.
of-Thebes born the hundred-gated

8. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

8 of-Antipater of-Sidon

Οὐκέτι θελγομένας, Ὀρφεῦ, δρύας, οὐκέτι πέτρας
No-longer charmed Orpheus oaks no-longer rocks
ἄξεις, οὐ θηρῶν αὐτονόμους ἀγέλας·
you-will-lead not of-beasts self-ruled herds
οὐκέτι κοιμάσεις ἀνέμων βρόμον, οὐχὶ χάλαζαν,
no-longer you-will-lull of-winds roar not hail
οὐ νιφετῶν συρμούς, οὐ παταγεῦσαν ἅλα.
not of-snowfalls drifts not crashing sea
ὤλεο γάρ· σὲ δὲ πολλὰ κατωδύραντο θύγατρες
you-perished for you and much lamented daughters
Μναμοσύνας, μάτηρ δ' ἔξοχα Καλλιόπα.
of-Mnemosyne mother and above-all Calliope

τί φθιμένοις στοναχεῦμεν ἐφ᾽ υἱάσιν, ἀνίκ᾽ ἀλαλκεῖν
why for-dead do-we-groan over sons when to-ward-off
τῶν παίδων Ἀΐδην οὐδὲ θεοῖς δύναμις;
of-the children Hades not-even to-gods power

9. ΔΑΜΑΓΗΤΟΥ

9 of-Damagetus

Ὀρφέα Θρηϊκίῃσι παρὰ προμολῇσιν Ὀλύμπου
Orpheus Thracian beside foothills of-Olympus
τύμβος ἔχει, Μούσης υἱέα Καλλιόπης,
tomb holds of-Muse son of-Calliope
ᾧ δρύες οὐκ ἀπίθησαν, ὅτῳ σὺν ἅμ᾽ ἕσπετο πέτρη
to-whom oaks not disobeyed whom with together followed rock
ἄψυχος, θηρῶν θ᾽ ὑλονόμων ἀγέλα,
soulless of-beasts and forest-dwelling herd
ὅς ποτε καὶ τελετὰς μυστηρίδας εὕρετο Βάκχου,
who once also rites mystic found of-Bacchus
καὶ στίχον ἡρῴῳ ζευκτὸν ἔτευξε ποδί,
and verse heroic yoked made by-foot
ὃς καὶ ἀμειλίκτοιο βαρὺ Κλυμένοιο νόημα
who also of-implacable heavy of-Clymenus mind
καὶ τὸν ἀκήλητον θυμὸν ἔθελξε λύρᾳ.
and the uncharmable heart charmed with-lyre

10. ΑΔΗΛΟΝ

10 uncertain

Καλλιόπης Ὀρφῆα καὶ Οἰάγροιο θανόντα
Of-Calliope Orpheus and of-Oeagrus dead
ἔκλαυσαν ξανθαὶ μυρία Βιστονίδες·
wept fair countless Bistonian-women
στικτοὺς δ' ᾑμάξαντο βραχίονας, ἀμφιμελαίνῃ
tattooed and bloodied arms with-dark
δευόμεναι σποδιῇ Θρηΐκιον πλόκαμον·
moistening with-ash Thracian hair
καὶ δ' αὐταὶ στοναχεῦντι σὺν εὐφόρμιγγι Λυκείῳ
even and themselves groaning with fine-lyred Lycian
ἔρρηξαν Μοῦσαι δάκρυα Πιερίδες,
shed Muses tears Pierian
μυρόμεναι τὸν ἀοιδόν· ἐπωδύραντο δὲ πέτραι
mourning the singer lamented and rocks
καὶ δρύες, ἃς ἐρατῇ τὸ πρὶν ἔθελγε λύρῃ.
and oaks which with-lovely the before he-charmed with-lyre

11. ΑΣΚΛΗΠΙΑΔΟΥ

11 of-Asclepiades

Ὅ γλυκὺς Ἠρίννης οὗτος πόνος, οὐχὶ πολὺς μέν,
The sweet of-Erinna this labor not much indeed
ὡς ἂν παρθενικᾶς ἐννεακαιδεκέτευς,
as — of-maiden of-nineteen-years
ἀλλ' ἑτέρων πολλῶν δυνατώτερος· εἰ δ' Ἀΐδας μοι
but than-other than-many more-powerful if but Hades to-me
μὴ ταχὺς ἦλθε, τίς ἂν ταλίκον ἔσχ' ὄνομα;
not quick had-come who — so-great would-have-had name

12. ΑΔΗΛΟΝ

12 uncertain

Ἄρτι λοχευομένην σε μελισσοτόκων ἔαρ ὕμνων,
Just being-delivered you of-honey-born spring of-hymns
ἄρτι δὲ κυκνείῳ φθεγγομένην στόματι,
just and with-swan's speaking with-mouth
ἤλασεν εἰς Ἀχέροντα διὰ πλατὺ κῦμα καμόντων
drove to Acheron through broad wave of-the-dead
μοῖρα, λινοκλώστου δεσπότις ἠλακάτης·
fate of-flax-spinning mistress of-distaff
σὸς δ' ἐπέων, Ἤριννα, καλὸς πόνος οὔ σε γεγωνεῖ
your but of-words Erinna fine labor not you proclaims
φθίσθαι, ἔχειν δὲ χοροὺς ἄμμιγα Πιερίσιν.
to-have-perished to-have but dances together with-Pierians

13. ΛΕΩΝΙΔΟΥ, *οἱ* δὲ ΜΕΛΕΑΓΡΟΥ

13 of-Leonidas the(-others) and of-Meleager

Παρθενικὰν νεαοιδὸν ἐν ὑμνοπόλοισι μέλισσαν
Maiden young-singer among hymn-makers bee
Ἤρινναν, Μουσῶν ἄνθεα δρεπτομέναν,
Erinna of-Muses flowers plucking
Ἅδας εἰς ὑμέναιον ἀνάρπασεν. ἦ ῥα τόδ' ἔμφρων
Hades to marriage snatched truly then this sensible
εἶπ' ἐτύμως ἁ παῖς· "Βάσκανος ἔσσ', Ἄϊδα."
said truly the girl Envious you-are Hades

14. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

14 of-Antipater of-Sidon

Σαπφώ τοι κεύθεις, χθὼν Αἰολί, τὰν μετὰ Μούσαις
Sappho you-know you-hide earth Aeolian the among Muses
ἀθανάταις θνατὰν Μοῦσαν ἀειδομέναν,
among-immortal mortal Muse being-sung
ἂν Κύπρις καὶ Ἔρως συνάμ᾽ ἔτραφον, ἃς μέτα Πειθὼ
whom Cypris and Love together reared whom with Persuasion
ἔπλεκ᾽ ἀείζωον Πιερίδων στέφανον,
wove ever-living of-Pierides garland
Ἑλλάδι μὲν τέρψιν, σοὶ δὲ κλέος. ὦ τριέλικτον
for-Hellas indeed delight for-you and glory O thrice-twisted
Μοῖραι δινεῦσαι νῆμα κατ᾽ ἠλακάτας,
Fates whirling thread down distaffs
πῶς οὐκ ἐκλώσασθε πανάφθιτον ἦμαρ ἀοιδῷ
how not did-you-spin imperishable day for-the-singer
ἄφθιτα μησαμένᾳ δῶρ᾽ Ἑλικωνιάδων;
imperishable having-devised gifts of-the-Heliconians

Sappho speaks from her tomb: her name is Sappho, and she excelled women in song as Homer did men; her bones lie here but her songs live. Antipater warns against judging Alcman by his small tomb, and Leonidas calls him the singer of wedding hymns. Sophocles is mourned, and ivy, grapes, and roses are bidden to grow over him. Several poets hail Anacreon in death: vines should wreathe his grave, wine be poured on it, and the old drinker who loved boys and the lyre keeps his revel below. Julian has him bid the living drink before they are dust, and answer a reproach for his drinking that the sober come to Hades too. Pindar is the Pierian trumpet, and Sophocles is hailed again by Erycius and Dioscorides.

15. ΑΝΤΙΠΑΤΡΟΥ

15 of-Antipater

Οὔνομά μευ Σαπφώ. τόσσον δ' ὑπερέσχον ἀοιδὰν
Name of-me Sappho so-much and I-surpassed in-song
θηλειᾶν, ἀνδρῶν ὅσσον ὁ Μαιονίδας.
of-women of-men as-much-as the Maeonides

16. ΠΙΝΥΤΟΥ

16 of-Pinytus

Ὀστέα μὲν καὶ κωφὸν ἔχει τάφος οὔνομα Σαπφοῦς·
Bones indeed and deaf holds tomb name of-Sappho
αἱ δὲ σοφαὶ κείνης ῥήσιες ἀθάνατοι.
the but wise of-her sayings immortal

17. ΤΥΛΛΙΟΥ ΛΑΥΡΕΑ

17 of-Tullius Laurea

Αἰολικὸν παρὰ τύμβον ἰών, ξένε, μή με θανοῦσαν
Aeolian by tomb going stranger not me dead
τὰν Μυτιληναίαν ἔννεπ᾽ ἀοιδοπόλον·
the Mytilenean call song-maker
τόνδε γὰρ ἀνθρώπων ἔκαμον χέρες· ἔργα δὲ φωτῶν
this for of-men toiled hands works and of-men
ἐς ταχινὴν ἔρρει τοιάδε ληθεδόνα.
to swift pass-away such oblivion
ἢν δέ με Μουσάων ἐτάσῃς χάριν, ὧν ἀφ᾽ ἑκάστης
if but me of-Muses you-test grace of-which from each
δαίμονος ἄνθος ἐμῇ θῆκα· παρ᾽ ἐννεάδι,
of-goddess flower my I-set beside nine
γνώσεαι ὡς Ἀΐδεω σκότον ἔκφυγον· οὐδέ τις ἔσται
you-will-know that of-Hades darkness I-escaped nor any will-be
τῆς λυρικῆς Σαπφοῦς νώνυμος ἠέλιος.
of-the lyric of-Sappho nameless sun

18. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ

18 of-Antipater of-Thessalonica

Ἀνέρα μὴ πέτρῃ τεκμαίρεο. λιτὸς ὁ τύμβος
Man not by-stone judge plain the tomb
ὀφθῆναι, μεγάλου δ᾽ ὀστέα φωτὸς ἔχει.
to-be-seen of-great but bones of-man holds
εἰδήσεις Ἀλκμᾶνα, λύρης ἐλατῆρα Λακαίνης
you-will-know Alcman of-lyre striker Laconian
ἔξοχον, ὃν Μουσέων ἐννέ᾽ ἀριθμὸς ἔχει·
eminent whom of-Muses nine number holds

κεῖται δ' ἠπείροις διδύμοις ἔρις, εἴθ' ὅγε Λυδός,
lies and on-continents twin dispute whether he Lydian
εἴτε Λάκων· πολλαὶ μητέρες ὑμνοπόλων.
or Laconian many mothers of-hymn-makers

19. ΛΕΩΝΙΔΟΥ

19 of-Leonidas

Τὸν χαρίεντ' Ἀλκμᾶνα, τὸν ὑμνητῆρ' ὑμεναίων
The graceful Alcman the singer of-wedding-songs
κύκνον, τὸν Μουσῶν ἄξια μελψάμενον,
swan the of-Muses worthily having-sung
τύμβος ἔχει, Σπάρτας μεγάλαν χάριν,
tomb holds of-Sparta great joy
†εἰθ' ὅ γε λοῖσθος
(corrupt) he indeed at-last
ἄχθος ἀπορρίψας οἴχεται εἰς Ἀΐδαν.
burden having-thrown-off goes to Hades

20. ΑΔΕΣΠΟΤΟΝ

20 anonymous

Ἐσβέσθης, γεραιὲ Σοφόκλεες, ἄνθος ἀοιδῶν,
You-were-quenched old Sophocles flower of-singers
οἰνωπὸν Βάκχου βότρυν ἐρεπτόμενος.
wine-colored of-Bacchus cluster munching

21. ΣΙΜΙΟΥ

21 of-Simmias

Τὸν σὲ χοροῖς μέλψαντα Σοφοκλέα, παῖδα Σοφίλλου,
The you with-dances having-sung Sophocles son of-Sophilus
τὸν τραγικῆς Μούσης ἀστέρα Κεκρόπιον,
the of-tragic of-Muse star Cecropian
πολλάκις ὃν θυμέλῃσι καὶ ἐν σκηνῇσι τεθηλὼς
often whom in-orchestras and on stages blooming
βλαισὸς Ἀχαρνίτης κισσὸς ἔρεψε κόμην,
pliant Acharnian ivy wreathed hair
τύμβος ἔχει καὶ γῆς ὀλίγον μέρος· ἀλλ᾽ ὁ περισσὸς
tomb holds and of-earth little part but the surpassing
αἰὼν ἀθανάτοις δέρκεται ἐν σελίσιν.
age immortal sees in pages

22. ΤΟΥ ΑΥΤΟΥ

22 of-the same

Ἠρέμ᾽ ὑπὲρ τύμβοιο Σοφοκλέος, ἠρέμα, κισσέ,
Gently over tomb of-Sophocles gently ivy
ἑρπύζοις, χλοεροὺς ἐκπροχέων πλοκάμους,
may-you-creep green pouring-forth tresses
καὶ πέταλον πάντῃ θάλλοι ῥόδου, ἥ τε φιλορρὼξ
and petal everywhere may-bloom of-rose the and grape-loving
ἄμπελος, ὑγρὰ πέριξ κλήματα χευαμένη,
vine supple around tendrils having-poured
εἵνεκεν εὐεπίης πινυτόφρονος, ἣν ὁ μελιχρὸς
because-of eloquence wise which the honey-sweet
ἤσκησ᾽ ἐκ Μουσέων ἄμμιγα καὶ Χαρίτων.
practiced from Muses together and Graces

23. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

23 of-Antipater of-Sidon

Θάλλοι τετρακόρυμβος, Ἀνάκρεον, ἀμφὶ σὲ κισσός,
May-bloom four-clustered Anacreon around you ivy
ἁβρά τε λειμώνων πορφυρέων πέταλα·
delicate and of-meadows purple petals
πηγαὶ δ' ἀργινόεντος ἀναθλίβοιντο γάλακτος,
springs and of-white may-gush of-milk
εὐῶδες δ' ἀπὸ γῆς ἡδὺ χέοιτο μέθυ,
fragrant and from earth sweet may-pour wine
ὄφρα κέ τοι σποδιή τε καὶ ὀστέα τέρψιν ἄρηται,
so-that — to-you ash both and bones delight may-take
εἰ δή τις φθιμένοις χρίμπτεται εὐφροσύνα.
if indeed any to-the-dead comes-near good-cheer

23 b. ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ

23 b on the same

Ὦ τὸ φίλον στέρξας, φίλε, βάρβιτον, ὦ σὺν ἀοιδᾷ
O the dear having-loved friend lyre O with song
πάντα διαπλώσας καὶ σὺν ἔρωτι βίον.
all having-sailed-through and with love life

24. ΣΙΜΩΝΙΔΟΥ

24 of-Simonides

Ἱμερὶ πανθέλκτειρα, μεθυτρόφε, μῆτερ ὀπώρας,
Vine all-charming wine-nourishing mother of-fruit
οὔλης ἣ σκολιὸν πλέγμα φύεις ἕλικος,
of-curling who crooked weave you-grow of-tendril

Τηίου ἠβήσειας Ἀνακρείοντος ἐπ᾽ ἄκρῃ
of-Teian may-you-flourish of-Anacreon on top
στήλῃ καὶ λεπτῷ χώματι τοῦδε τάφου,
on-pillar and on-thin on-mound of-this of-tomb
ὡς ὁ φιλάκρητός τε καὶ οἰνοβαρὴς φιλοκώμοις
so-that the unmixed-loving both and wine-heavy in-revel-loving
παννυχίσιν κρούων τὴν φιλόπαιδα χέλυν,
in-night-festivals striking the boy-loving lyre
κεἶν χθονὶ πεπτηώς, κεφαλῆς ἐφύπερθε φέροιτο
even-in earth lying head over may-carry
ἀγλαὸν ὡραίων βότρυν ἀπ᾽ ἀκρεμόνων,
bright of-ripe cluster from boughs
καί μιν ἀεὶ τέγγοι νοτερὴ δρόσος, ἧς ὁ γεραιὸς
and him always may-wet moist dew than-which the old-man
λαρότερον μαλακῶν ἔπνεεν ἐκ στομάτων.
more-sweetly soft breathed from lips

26. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

26 of-Antipater of-Sidon

Ξεῖνε, τάφον παρὰ λιτὸν Ἀνακρείοντος ἀμείβων,
Stranger tomb by plain of-Anacreon passing
εἴ τί τοι ἐκ βίβλων ἦλθεν ἐμῶν ὄφελος,
if any to-you from books came my profit
σπεῖσον ἐμῇ σποδιῇ σπεῖσον γάνος, ὄφρα κεν οἴνῳ
pour on-my on-ash pour gladness so-that — with-wine
ὀστέα γηθήσῃ τἀμὰ νοτιζόμενα,
bones may-rejoice my being-wetted
ὡς ὁ Διωνύσου μεμελημένος εὐάσι κώμοις,
as the of-Dionysus having-cared-for in-Bacchic in-revels

ὡς ὁ φιλακρήτου σύντροφος ἁρμονίης
as the of-unmixed-loving fellow-nursling of-harmony
μηδὲ καταφθίμενος Βάκχου δίχα τοῦτον ὑποίσω
not-even having-died of-Bacchus apart this I-will-endure
τὸν γενεῇ μερόπων χῶρον ὀφειλόμενον.
the to-race of-mortals place owed

28. ΑΔΕΣΠΟΤΟΝ

28 anonymous

Ὦ ξένε, τόνδε τάφον τὸν Ἀνακρείοντος ἀμείβων,
O stranger this tomb the of-Anacreon passing
σπεῖσόν μοι παριών· εἰμὶ γὰρ οἰνοπότης.
pour to-me passing I-am for wine-drinker

32. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠΑΡΧΩΝ ΑΙΓΥΠΤΟΥ

32 of-Julian from the-Prefects of-Egypt

Πολλάκι μὲν τόδ' ἄεισα, καὶ ἐκ τύμβου δὲ βοήσω·
Often indeed this I-sang even from tomb and I-will-shout
"Πίνετε, πρὶν ταύτην ἀμφιβάλησθε κόνιν."
Drink before this you-put-on dust

33. ΤΟΥ ΑΥΤΟΥ

33 of-the same

— Πολλὰ πιὼν τέθνηκας, Ἀνάκρεον. —
Much having-drunk you-have-died Anacreon
Ἀλλὰ τρυφήσας·
But having-lived-luxuriously
καὶ σὺ δὲ μὴ πίνων ἴξεαι εἰς Ἀΐδην.
also you and not drinking you-will-come to Hades

34. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

34 of-Antipater of-Sidon

Πιερικὰν σάλπιγγα, τὸν εὐαγέων βαρὺν ὕμνων
Pierian trumpet the of-holy heavy of-hymns
χαλκευτάν, κατέχει Πίνδαρον ἅδε κόνις,
smith holds Pindar this dust
οὗ μέλος εἰσαΐων φθέγξαιό κεν, ὥς ἀπὸ Μουσῶν
whose song hearing you-would-say — that from Muses
ἐν Κάδμου θαλάμοις σμῆνος ἀπεπλάσατο.
in of-Cadmus chambers swarm molded

35. ΛΕΩΝΙΔΟΥ

35 of-Leonidas

Ἄρμενος ἦν ξείνοισιν ἀνὴρ ὅδε καὶ φίλος ἀστοῖς,
Agreeable was to-strangers man this and dear to-citizens
Πίνδαρος, εὐφώνων Πιερίδων πρόπολος.
Pindar of-sweet-voiced of-Pierides minister

36. ΕΡΥΚΙΟΥ

36 of-Erycius

Αἰεί τοι λιπαρῷ ἐπὶ σήματι, δῖε Σοφόκλεις,
Always to-you rich on tomb divine Sophocles
σκηνίτης μαλακοὺς κισσὸς ἅλοιτο πόδας,
of-the-stage soft ivy may-leap feet
αἰεί τοι βούπαισι περιστάζοιτο μελίσσαις
always to-you by-ox-born may-be-dripped-round by-bees
τύμβος, Ὑμηττείῳ λειβόμενος μέλιτι,
tomb with-Hymettian dripping with-honey
ὡς ἄν τοι ῥείῃ μὲν ἀεὶ γάνος Ἀτθίδι δέλτῳ
so-that — for-you may-flow indeed always gladness on-Attic on-tablet
κηρός, ὑπὸ στεφάνοις δ' αἰὲν ἔχῃς πλοκάμους.
wax under garlands and always you-may-have locks

37. ΔΙΟΣΚΟΡΙΔΟΥ

37 of-Dioscorides

— Τύμβος ὅδ' ἔστ', ὤνθρωπε, Σοφοκλέος,
Tomb this is O-man of-Sophocles
ὃν παρὰ Μουσέων
whom from Muses
ἱρὴν παρθεσίην, ἱερὸς ὤν, ἔλαχον·
holy deposit holy being I-got
ὅς με τὸν ἐκ Φλιοῦντος, ἔτι τρίβολον πατέοντα,
who me the from Phlius still caltrop treading
πρίνινον, ἐς χρύσεον σχῆμα μεθηρμόσατο,
of-holm-oak into golden form transformed

καὶ λεπτὴν ἐνέδυσεν ἁλουργίδα· τοῦ δὲ θανόντος
and fine clothed-in purple-robe of-him and dead
εὔθετον ὀρχηστὴν τῇδ᾽ ἀνέπαυσα πόδα.
nimble dancer here I-rested foot
— Ὄλβιος, ὡς ἁγνὴν ἔλαχες στάσιν· ἡ δ᾽ ἐνὶ χερσὶν
Blessed how pure you-got station the but in hands
κούριμος, ἐκ ποίης ἥδε διδασκαλίης;
shorn from what-kind this of-play
— Εἴτε σοι Ἀντιγόνην εἰπεῖν φίλον, οὐκ ἂν ἁμάρτοις,
Whether to-you Antigone to-say dear not — you-would-miss
εἴτε καὶ Ἠλέκτραν· ἀμφότεραι γὰρ ἄκρον.
or-whether also Electra both for top

EPIGRAMS 38–58

Aristophanes lies under his stone, the memorial of the old comic chorus, and Aeschylus lies far from Athens by the waters of Gela. Callimachus is hailed in Hades, and his dream of Helicon is praised. Ion and others mourn Euripides: neither dogs nor a woman's passion killed him but Hades and old age; all Hellas is his monument while Macedon holds his bones, and the monument is not his but he is its. Archimedes warns poets off Euripides' path, smooth to look at and rough to tread. Hesiod dedicates his offering to the Heliconian Muses after defeating Homer at Chalcis; the Minyans' land holds his bones and the Nymphs of Locris washed his body. Democritus laughs from his tomb, and Julian bids Persephone receive his laughing soul.

38. ΔΙΟΔΩΡΟΥ

38 of-Diodorus

Θεῖος Ἀριστοφάνευς ὑπ᾽ ἐμοὶ νέκυς· εἰ τίνα πεύθῃ,
Divine of-Aristophanes under me corpse if which you-ask
κωμικός, ἀρχαίης μνᾶμα χοροστασίης.
comic of-ancient memorial of-chorus-dancing

39. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ

39 of-Antipater of-Thessalonica

Ὁ τραγικὸν φώνημα καὶ ὀφρυόεσσαν ἀοιδὴν
The tragic utterance and lofty song
πυργώσας στιβαρῇ πρῶτος ἐν εὐεπίῃ,
having-towered with-solid first in eloquence
Αἰσχύλος Εὐφορίωνος, Ἐλευσινίης ἑκὰς αἴης
Aeschylus of-Euphorion of-Eleusinian far of-land
κεῖται, κυδαίνων σήματι Τρινακρίην.
lies glorifying with-tomb Trinacria

40. ΔΙΟΔΩΡΟΥ

40 of-Diodorus

Αἰσχύλον ἥδε λέγει ταφίη λίθος ἐνθάδε κεῖσθαι
Aeschylus this says sepulchral stone here to-lie
τὸν μέγαν, οἰκείης τῆλ᾽ ἀπὸ Κεκροπίης,
the great of-own far from Cecropia
λευκὰ Γέλα Σικελοῖο παρ᾽ ὕδατα· τίς φθόνος, αἰαῖ,
white of-Gela Sicilian by waters what envy alas
Θησείδας ἀγαθῶν ἔγκοτος αἰὲν ἔχει;
Theseus'-sons to-the-good hostile always has

41. ΑΔΕΣΠΟΤΟΝ

41 anonymous

Ἆ μάκαρ ἀμβροσίῃσι συνέστιε, φίλτατε Μούσαις,
Ah blessed with-ambrosial sharer-of-the-hearth dearest to-Muses
χαῖρε καὶ εἰν Ἀΐδεω δώμασι, Καλλίμαχε,
farewell even in of-Hades house Callimachus

42. ΑΛΛΟ

42 another

Ἆ μέγα Βαττιάδαο σοφοῦ περίπυστον ὄνειαρ,
Ah great of-Battus'-son wise far-famed dream
ἦ ῥ' ἐτεὸν κεράων, οὐδ' ἐλέφαντος ἔης.
truly then really of-horn nor of-ivory you-were
τοῖα γὰρ ἄμμιν ἔφηνας, ἅτ' οὐ πάρος ἀνέρες ἴδμεν,
such for to-us you-revealed as not before men we-knew
ἀμφί τε ἀθανάτους, ἀμφί τε ἡμιθέους,
about both immortals about and demigods
εὖτέ μιν ἐκ Λιβύης ἀναείρας εἰς Ἑλικῶνα
when him from Libya having-lifted to Helicon
ἤγαγες ἐν μέσσαις Πιερίδεσσι φέρων·
you-led in middle Pierides carrying
αἱ δέ οἱ εἰρομένῳ ἀμφ' ὠγυγίων ἡρώων
they and to-him asking about of-ancient heroes
Αἴτια καὶ μακάρων εἶρον ἀμειβόμεναι.
Causes and of-blessed told answering

43. ΙΩΝΟΣ

43 of-Ion

Χαῖρε μελαμπετάλοις, Εὐριπίδη, ἐν γυάλοισι
Farewell dark-leaved Euripides in hollows
Πιερίας τὸν ἀεὶ νυκτὸς ἔχων θάλαμον·
of-Pieria the always of-night having chamber
ἴσθι δ' ὑπὸ χθονὸς ὤν, ὅτι σοι κλέος ἄφθιτον ἔσται
know and under earth being that to-you glory imperishable will-be
ἶσον Ὁμηρείαις ἀενάοις χάρισιν.
equal to-Homeric ever-flowing graces

44. ΙΩΝΟΣ

44 of-Ion

Εἰ καὶ δακρυόεις, Εὐριπίδη, εἶλέ σε πότμος,
If even tearful Euripides seized you fate
καί σε λυκορραῖσται δεῖπνον ἔθεντο κύνες,
and you wolf-tearing dinner made dogs
τὸν σκηνῇ μελίγηρυν ἀηδόνα, κόσμον Ἀθηνῶν,
the on-stage honey-voiced nightingale ornament of-Athens
τὸν σοφίῃ Μουσέων μιξάμενον χάριτα,
the with-wisdom of-Muses having-mixed grace
ἀλλ' ἔμολες Πελλαῖον ὑπ' ἠρίον, ὡς ἂν ὁ λάτρις
but you-went Pellaean under tomb so-that — the servant
Πιερίδων ναίῃς ἀγχόθι Πιερίδων.
of-Pierides you-might-dwell near of-Pierides

45. ΘΟΥΚΥΔΙΔΟΥ

45 of-Thucydides

Μνῆμα μὲν Ἑλλὰς ἅπασ᾽ Εὐριπίδου· ὀστέα δ᾽ ἴσχει
Memorial indeed Hellas all of-Euripides bones and holds
γῆ Μακεδών· ἣ γὰρ δέξατο τέρμα βίου.
land Macedonian which for received end of-life
πατρὶς δ᾽ Ἑλλάδος Ἑλλάς, Ἀθῆναι· πλεῖστα δὲ Μούσαις
fatherland and of-Hellas Hellas Athens most and with-Muses
τέρψας, ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.
having-delighted from many also the praise has

46. ΑΔΗΛΟΝ

46 uncertain

Οὐ σὸν μνῆμα τόδ᾽ ἔστ᾽, Εὐριπίδη, ἀλλὰ σὺ τοῦδε·
Not your memorial this is Euripides but you of-this
τῇ σῇ γὰρ δόξῃ μνῆμα τόδ᾽ ἀμπέχεται.
by-the your for glory memorial this is-clothed

47. ΑΛΛΟ

47 another

Ἅπασ᾽ Ἀχαιὶς μνῆμα σόν, Εὐριπίδη·
All Achaea memorial your Euripides
οὔκουν ἄφωνος, ἀλλὰ καὶ λαλητέος.
not-then voiceless but also to-be-spoken

48. ΑΛΛΟ

48 another

Αἰθαλέοιο πυρὸς σάρκες ῥιπῇσι τρυφηλαὶ
Of-blazing of-fire flesh by-blasts delicate
ληφθεῖσαι, νοτίην ὦσαν ἄπ᾽ αἰθόμεναι·
seized moisture pushed away burning
μοῦνα δ᾽ ἔνεστι τάφῳ πολυδακρύῳ ὀστέα κωφά,
only and is-in in-tomb much-wept bones deaf
καὶ πόνος εἰνοδίοις τῇδε παρερχομένοις.
and toil for-the-wayfarers here passing

49. ΒΙΑΝΟΡΟΣ

49 of-Bianor

Ἁ Μακέτις σε κέκευθε τάφου κόνις· ἀλλὰ πυρωθεὶς
The Macedonian you hides of-tomb dust but burned
Ζανὶ κεραυνείῳ, γαῖαν ἀπημφίασας.
by-Zeus thundering earth you-stripped-off
τρὶς γὰρ ἐπαστράψας, Εὐριπίδη, ἐκ Διὸς αἰθὴρ
thrice for having-lightened Euripides from Zeus ether
ἥγνισε τὰν θνατὰν σώματος †ἱστορίαν.
purified the mortal of-body story

50. ΑΡΧΙΜΗΔΟΥΣ

50 of-Archimedes

Τὴν Εὐριπίδεω μήτ᾽ ἔρχεο, μήτ᾽ ἐπιβάλλου,
The of-Euripides neither go nor set-upon
δύσβατον ἀνθρώποις οἶμον, ἀοιδοθέτα.
hard-to-tread for-men path song-maker

λείη μὲν γὰρ ἰδεῖν καὶ ἐπίρροθος· ἢν δέ τις αὐτὴν
smooth indeed for to-see and rushing if but anyone it
εἰσβαίνῃ, χαλεποῦ τρηχυτέρη σκόλοπος·
treads than-hard rougher than-stake
ἢν δὲ τὰ Μηδείης Αἰητίδος ἄκρα χαράξῃς,
if but the of-Medea of-Aeetes'-daughter tips you-scratch
ἀμνήμων κείσῃ νέρθεν. ἔα στεφάνους.
forgotten you-will-lie below let-be garlands

51. ΑΔΔΑΙΟΥ

51 of-Adaeus

Οὔ σε κυνῶν γένος εἷλ', Εὐριπίδη, οὐδὲ γυναικὸς
Not you of-dogs race seized Euripides nor of-woman
οἶστρος, τὸν σκοτίης Κύπριδος ἀλλότριον,
gadfly the of-secret of-Cypris stranger
ἀλλ' Ἀΐδης καὶ γῆρας· ὑπαὶ Μακέτῃ δ' Ἀρεθούσῃ
but Hades and old-age under Macedonian and Arethusa
κεῖσαι, ἑταιρείῃ τίμιος Ἀρχέλεω.
you-lie by-companionship honored of-Archelaus
σὸν δ' οὐ τοῦτον ἐγὼ τίθεμαι τάφον, ἀλλὰ τὰ Βάκχου
your but not this I set tomb but the of-Bacchus
βήματα καὶ σκηνὰς ἐμβάδ' ἐρειδομένας.
platforms and stages buskin pressed-on

52. ΔΗΜΙΟΥΡΓΟΥ

52 of-Demiurgus

Ἑλλάδος εὐρυχόρου στέφανον καὶ κόσμον ἀοιδῆς,
Of-Hellas spacious crown and ornament of-song
Ἀσκραῖον γενεὴν Ἡσίοδον κατέχω.
Ascraean by-birth Hesiod I-hold

53. ΑΔΗΛΟΝ

53 uncertain

Ἡσίοδος Μούσαις Ἑλικωνίσι τόνδ' ἀνέθηκα,
Hesiod to-Muses Heliconian this dedicated
ὕμνῳ νικήσας ἐν Χαλκίδι θεῖον Ὅμηρον.
with-hymn having-conquered in Chalcis divine Homer

54. ΜΝΑΣΑΛΚΟΥ

54 of-Mnasalces

Ἄσκρη μὲν πατρὶς πολυλήϊος, ἀλλὰ θανόντος
Ascra indeed fatherland rich-in-corn but dead
ὀστέα πληξίππων γῆ Μινυῶν κατέχει
bones of-horse-driving land of-Minyans holds
Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστὶν
of-Hesiod of-whom most among men glory is
ἀνδρῶν κρινομένων ἐν βασάνῳ σοφίης.
of-men being-judged in test of-wisdom

55. ΑΛΚΑΙΟΥ

55 of-Alcaeus

Λοκρίδος ἐν νέμεϊ σκιερῷ νέκυν Ἡσιόδοιο
Of-Locris in grove shady corpse of-Hesiod
Νύμφαι κρηνίδων λοῦσαν ἀπὸ σφετέρων,
Nymphs of-springs washed from their-own
καὶ τάφον ὑψώσαντο· γάλακτι δὲ ποιμένες αἰγῶν
and tomb raised with-milk and shepherds of-goats
ἔρραναν, ξανθῷ μιξάμενοι μέλιτι·
sprinkled with-yellow having-mixed with-honey
τοίην γὰρ καὶ γῆρυν ἀπέπνεεν ἐννέα Μουσέων
such for also voice breathed of-nine of-Muses
ὁ πρέσβυς καθαρῶν γευσάμενος λιβάδων.
the old-man pure having-tasted streams

56. ΑΔΗΛΟΝ

56 uncertain

Ἦν ἄρα Δημοκρίτοιο γέλως τόδε, καὶ τάχα λέξει·
Was then of-Democritus laughter this and perhaps he-will-say
"Οὐκ ἔλεγον γελόων, Πάντα πέλουσι γέλως;
Not did-I-say laughing All are laughter
καὶ γὰρ ἐγὼ σοφίην μετ' ἀπείρονα, καὶ στίχα βίβλων
and for I wisdom after boundless and row of-books
τοσσατίων, κεῖμαι νέρθε τάφοιο γέλως."
of-so-many I-lie below of-tomb laughter

57. ΑΛΛΟ

57 another

Καὶ τίς ἔφυ σοφὸς ὧδε; τίς ἔργον ἔρεξε τοσοῦτον,
And who was wise thus who work did so-great
ὅσσον ὁ παντοδαὴς ἤνυσε Δημόκριτος;
as-much-as the all-knowing accomplished Democritus
ὃς Θάνατον παρεόντα τριῖ ἤματα δώμασιν ἔσχεν,
who Death being-present three days in-house held
καὶ θερμοῖς ἄρτων ἄσθμασιν ἐξένισεν.
and with-warm of-loaves with-vapors entertained

58. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠΑΡΧΩΝ ΑΙΓΥΠΤΟΥ

58 of-Julian from the-Prefects of-Egypt

Εἰ καὶ ἀμειδήτων νεκύων ὑπὸ γαῖαν ἀνάσσεις,
If even of-unsmiling of-dead under earth you-rule
Φερσεφόνη, ψυχὴν δέχνυσο Δημοκρίτου
Persephone soul receive of-Democritus
εὐμενέως γελόωσαν, ἐπεὶ καὶ σεῖο τεκοῦσαν
kindly laughing since even of-you mother
ἀχνυμένην ἐπὶ σοὶ μοῦνος ἔκαμψε γέλως.
grieving over you alone bent laughter

Julian bids Pluto receive Democritus, and Simmias praises Aristocles (Plato), first among mortals in temperance and justice. Plato's body lies in earth while his soul is among the blessed, and an eagle on his tomb says it is the image of his soul flown to Olympus. Diogenes the Cynic asks the ferryman to take him across with his staff, wallet, double cloak, and obol, all he ever had, and a dog on his tomb answers whose it guards. Cerberus is told to fear the corpse of Archilochus, whose iambics drove the daughters of Lycambes out of the light, and wasps guard his seaside tomb. Menander hails the two sons of Neocles, Geminus and Diodorus praise Themistocles, whose true tomb is Greece, and Antipater mourns Stesichorus.

59. ΤΟΥ ΑΥΤΟΥ

59 of-the same

Πλούτων δέξο μάκαρ Δημόκριτον, ὥς κεν ἀνάσσων
Pluto receive blessed Democritus so-that — ruling
αἰὲν ἀμειδήτων καὶ γελόωντα λάχοις.
always of-unsmiling also laughing you-may-have

60. ΣΙΜΙΟΥ

60 of-Simmias

Σωφροσύνῃ προφέρων θνητῶν ἤθει τε δικαίῳ
In-temperance excelling of-mortals in-character and just
ἐνθάδε κεῖται ἀνὴρ θεῖος Ἀριστοκλέης·
here lies man divine Aristocles
εἰ δέ τις ἐκ πάντων σοφίης μέγαν ἔσχεν ἔπαινον,
if but anyone from all of-wisdom great had praise
οὗτος ἔχει πλεῖστον, καὶ φθόνον οὐ φέρεται.
this(-man) has most and envy not incurs

61. ΑΔΕΣΠΟΤΟΝ

61 anonymous

Γαῖα μὲν ἐν κόλποις κρύπτει τόδε σῶμα Πλάτωνος,
Earth indeed in bosom hides this body of-Plato
ψυχὴ δ' ἀθάνατον τάξιν ἔχει μακάρων
soul but immortal station has of-blessed
υἱοῦ Ἀρίστωνος, τόν τις καὶ τηλόθι ναίων
of-son of-Ariston whom anyone even far-off dwelling
τιμᾷ ἀνὴρ ἀγαθός, θεῖον ἰδόντα βίον.
honors man good divine having-seen life

62. ΑΛΛΟ

62 another

— Αἰετέ, τίπτε βέβηκας ὑπὲρ τάφον; ἢ τίνος, εἰπέ,
Eagle why have-you-stood over tomb or of-whom tell
ἀστερόεντα θεῶν οἶκον ἀποσκοπέεις;
starry of-gods house do-you-look-at
— Ψυχῆς εἰμι Πλάτωνος ἀποπταμένης ἐς Ὄλυμπον
Of-soul I-am of-Plato having-flown-away to Olympus
εἰκών· σῶμα δὲ γῆ γηγενὲς Ἀτθὶς ἔχει.
image body and earth earth-born Attic holds

63. ΑΔΕΣΠΟΤΟΝ

63 anonymous

Τὸν κύνα Διογένη, νεκυοστόλε, δέξο με, πορθμεῦ,
The dog Diogenes corpse-carrying receive me ferryman
γυμνώσαντα βίου παντὸς ἐπισκύνιον.
having-stripped of-life all pretension

64. ΑΔΗΛΟΝ

64 uncertain

— Εἰπέ, κύον, τίνος ἀνδρὸς ἐφεστὼς σῆμα φυλάσσεις;
Tell dog of-what man standing-over tomb do-you-guard
— Τοῦ Κυνός. — Ἀλλὰ τίς ἦν οὗτος ἀνὴρ ὁ Κύων;
Of-the Dog But who was this man the Dog
— Διογένης. — Γένος εἰπέ. — Σινωπεύς. —
Diogenes By-race tell Sinopean
Ὃς πίθον ᾤκει;
Who jar inhabited
— Καὶ μάλα· νῦν δὲ θανὼν ἀστέρας οἶκον ἔχει.
Yes-and very now and having-died stars as-house has

65. ΑΝΤΙΠΑΤΡΟΥ

65 of-Antipater

Διογένευς τόδε σῆμα, σοφοῦ κυνός, ὅς ποτε θυμῷ
Of-Diogenes this tomb of-wise of-dog who once with-heart
ἄρσενι γυμνήτην ἐξεπόνει βίοτον,
manly naked worked-out life
ᾧ μία τις πήρα, μία διπλοΐς, εἷς ἅμ᾽ ἐφοίτα
to-whom one some wallet one double-cloak one together went-with
σκίπων, αὐτάρκους ὅπλα σαοφροσύνας.
staff of-self-sufficient arms of-temperance
ἀλλὰ τάφου τοῦδ᾽ ἐκτὸς ἴτ᾽, ἄφρονες, ὡς ὁ Σινωπεὺς
but of-tomb this outside go fools as the Sinopean
ἐχθαίρει φαῦλον πάντα καὶ εἰν Ἀΐδῃ.
hates base all even in Hades

66. ΟΝΕΣΤΟΥ

66 of-Honestus

Βάκτρον καὶ πήρη καὶ διπλόον εἶμα σοφοῖο
Staff and wallet and double cloak of-wise
Διογένευς βιότου φόρτος ὁ κουφότατος.
of-Diogenes of-life load the lightest
πάντα φέρω πορθμῆϊ· λέλοιπα γὰρ οὐδὲν ὑπὲρ γῆς·
all I-carry to-ferryman I-have-left for nothing over earth
ἀλλὰ κύον σαίνοις Κέρβερε τόν με κύνα.
but dog may-you-fawn-on Cerberus the me dog

67. ΛΕΩΝΙΔΟΥ

67 of-Leonidas

Ἀΐδεω λυπηρὲ διήκονε, τοῦτ' Ἀχέροντος
Of-Hades grievous servant this of-Acheron
ὕδωρ ὃς πλώεις πορθμίδι κυανέῃ,
water who sail in-boat dark
δέξαι μ', εἰ καί σοι μέγα βρίθεται ὠκρυόεσσα
receive me if even to-you greatly is-weighed-down chilly
βᾶρις ἀποφθιμένων, τὸν κύνα Διογένην.
bark of-the-dead the dog Diogenes
ὅλπη μοι καὶ πήρη ἐφόλκια, καὶ τὸ παλαιὸν
flask to-me and wallet cargo and the old
ἔσθος, χὠ φθιμένους ναυστολέων ὀβολός.
garment and-the the-dead ferrying obol

πάνθ᾽ ὅσα κὴν ζωοῖς ἐπεπάμεθα,
all as-much-as even-among the-living we-possessed
ταῦτα παρ᾽ Ἄδαν
these to Hades
ἔρχομ᾽ ἔχων· λείπω δ᾽ οὐδὲν ὑπ᾽ ἠελίῳ.
I-go having I-leave and nothing under sun

68. ΑΡΧΙΟΥ

68 of-Archias

Ἄϊδος ὦ νεκυηγέ, κεχαρμένε δάκρυσι πάντων,
Of-Hades O corpse-leader rejoicing in-tears of-all
ὃς βαθὺ πορθμεύεις τοῦτ᾽ Ἀχέροντος ὕδωρ,
who deep ferry this of-Acheron water
εἰ καί σοι βέβριθεν ὑπ᾽ εἰδώλοισι καμόντων
if even for-you is-weighed-down by phantoms of-the-dead
ὁλκάς, μὴ προλίπῃς Διογένη με κύνα.
ship not leave-behind Diogenes me dog
ὄλπην καὶ σκίπωνα φέρω, καὶ διπλόον εἷμα,
flask and staff I-carry and double garment
καὶ πήρην, καὶ σοὶ ναυτιλίης ὀβολόν.
and wallet and for-you of-voyage obol
καὶ ζωὸς τάδε μοῦνον, ἃ καὶ νέκυς ὧδε κομίζω,
and living these only which also dead thus I-carry
εἶχον· ὑπ᾽ ἠελίου δ᾽ οὔ τι λέλοιπα φάει.
I-had under of-sun and not anything I-have-left light

69. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠΑΡΧΩΝ ΑΙΓΥΠΤΟΥ

69 of-Julian from the-Prefects of-Egypt

Κέρβερε δειμαλέην ὑλακὴν νεκύεσσιν ἰάλλων,
Cerberus fearful bark at-the-dead sending
ἤδη φρικαλέον δείδιθι καὶ σὺ νέκυν·
now dreadful fear also you corpse
Ἀρχίλοχος τέθνηκε· φυλάσσεο θυμὸν ἰάμβων
Archilochus has-died guard-against wrath of-iambics
δριμύν, πικροχόλου τικτόμενον στόματος.
pungent of-bitter-bile born mouth
οἶσθα βοῆς κείνοιο μέγα σθένος, εὖτε Λυκάμβεω
you-know of-shout of-his great strength when of-Lycambes
νηῦς μία σοὶ δισσὰς ἤγαγε θυγατέρας.
ship one to-you two brought daughters

70. ΤΟΥ ΑΥΤΟΥ

70 of-the same

Νῦν πλέον ἢ τὸ πάροιθε πύλας κρατεροῖο βερέθρου
Now more than the before gates of-mighty of-pit
ὄμμασιν ἀγρύπνοις τρισσὲ φύλασσε κύον.
with-eyes sleepless triple guard dog
εἰ γὰρ φέγγος ἔλειπον ἀλυσκάζουσαι ἰάμβων
if for light left escaping of-iambics
ἄγριον Ἀρχιλόχου φλέγμα Λυκαμβιάδες,
savage of-Archilochus fire the-daughters-of-Lycambes
πῶς οὐκ ἂν προλίποι σκοτίων πυλεῶνας ἐναύλων
how not — would-leave of-dark gateways of-dwellings
νεκρὸς ἅπας, φεύγων τάρβος ἐπεσβολίης;
dead every fleeing fear of-abuse

71. ΓΑΙΤΟΥΛΙΚΟΥ

71 of-Gaetulicus

Σῆμα τόδ' Ἀρχιλόχου παραπόντιον, ὅς ποτε πικρὴν
Tomb this of-Archilochus by-the-sea who once bitter
Μοῦσαν ἐχιδναίῳ πρῶτος ἔβαψε χόλῳ,
Muse with-viper's first dipped with-bile
αἱμάξας Ἑλικῶνα τὸν ἥμερον. οἶδε Λυκάμβης,
having-bloodied Helicon the gentle knows Lycambes
μυρόμενος τρισσῶν ἄμματα θυγατέρων.
mourning of-three nooses of-daughters
ἠρέμα δὴ παράμειψον, ὁδοιπόρε, μή ποτε τοῦδε
gently indeed pass-by wayfarer lest ever of-this
κινήσῃς τύμβῳ σφῆκας ἐφεζομένους.
you-stir on-tomb wasps sitting

72. ΜΕΝΑΝΔΡΟΥ ΚΩΜΙΚΟΥ

72 of-Menander the-Comic

Χαῖρε, Νεοκλείδα, δίδυμον γένος, ὧν ὁ μὲν ὑμῶν
Farewell sons-of-Neocles twin race of-whom the(-one) indeed of-you
πατρίδα δουλοσύνας ῥύσαθ', ὁ δ' ἀφροσύνας.
fatherland from-slavery rescued the(-other) and from-folly

73. ΓΕΜΙΝΟΥ

73 of-Geminus

Ἀντὶ τάφου λιτοῖο θὲς Ἑλλάδα, θὲς δ' ἐπὶ ταύταν
Instead-of tomb plain set Hellas set and on her
δούρατα, βαρβαρικᾶς σύμβολα ναυφθορίας,
beams of-barbarian tokens of-shipwreck

καὶ τύμβῳ κρηπῖδα περίγραφε Περσικὸν Ἄρη
and on-tomb base engrave-round Persian Ares
καὶ Ξέρξην· τούτοις θάπτε Θεμιστοκλέα.
and Xerxes in-these bury Themistocles
στάλα δ' ἁ Σαλαμὶς ἐπικείσεται, ἔργα λέγουσα
pillar and — Salamis will-lie-on deeds telling
τὰμά· τί με σμικροῖς τὸν μέγαν ἐντίθετε;
my why me in-small the great do-you-put-in

74. ΔΙΟΔΩΡΟΥ

74 of-Diodorus

Τοῦτο Θεμιστοκλεῖ ξένον ἠρίον εἵσατο Μάγνης
This for-Themistocles foreign tomb built Magnesian
λαός, ὅτ' ἐκ Μήδων πατρίδα ῥυσάμενος
people when from Medes fatherland having-rescued
ὀθνείην ὑπέδυ χθόνα καὶ λίθον. ἦ θέλεν οὕτως
foreign went-under earth and stone truly wished so
ὁ φθόνος· αἱ δ' ἀρεταὶ μεῖον ἔχουσι γέρας.
the envy the and virtues less have privilege

75. ΑΝΤΙΠΑΤΡΟΥ

75 of-Antipater

Στασίχορον, ζαπληθὲς ἀμέτρητον στόμα Μούσης,
Stesichorus copious measureless mouth of-Muse
ἐκτέρισεν Κατάνας αἰθαλόεν δάπεδον,
buried of-Catana smoky ground

οὗ, κατὰ Πυθαγόρου φυσικὰν φάτιν, ἃ πρὶν Ὁμήρου
of-whom according-to of-Pythagoras natural saying the before of-Homer
ψυχὰ ἐνὶ στέρνοις δεύτερον ᾠκίσατο.
soul in breast second dwelt

EPIGRAMS 76–93

Dioscorides' Philocritus left trade for the plow and was buried at Memphis, where the Nile's flood stripped the soil from his grave, so that the man who fled the sea lies shipwrecked in his tomb. The rest are mostly the philosophers' tombs. Simonides' rescuer is honored, Eratosthenes lies by Proteus' shore, Heraclitus calls himself the only man who found wisdom, and Callimachus weeps for his friend Heraclitus, whose nightingales still live. The Seven Sages follow: Cleobulus of Lindus, Thales of Miletus, who died watching the games, Solon, burned in Cyprus, Chilon, who died of joy at his son's victory, Pittacus, who told a stranger to marry his equal by watching boys whip their tops, Bias, who died in a boy's arms, Anacharsis, carried off by a winged reed while still urging Greek ways, and Pherecydes, who says all wisdom ends in him.

76. ΔΙΟΣΚΟΡΙΔΟΥ

76 of-Dioscorides

Ἐμπορίης λήξαντα Φιλόκριτον, ἄρτι δ' ἀρότρου
From-trade having-ceased Philocritus just and of-plow
γευόμενον, ξείνῳ Μέμφις ἔκρυψε τάφῳ,
tasting in-foreign Memphis hid in-tomb
ἔνθα δραμὼν Νείλοιο πολὺς ῥόος ὕδατι λάβρῳ
where having-run of-Nile great stream with-water violent
τἀνδρὸς τὴν ὀλίγην βῶλον ἀπημφίασε.
of-the-man the little clod stripped-off

καὶ ζωὸς μὲν ἔφευγε πικρὴν ἅλα· νῦν δὲ καλυφθεὶς
and living indeed he-fled bitter sea now but covered
κύμασι ναυηγὸν σχέτλιος ἔσχε τάφον.
by-waves shipwrecked wretch he-got tomb

77. ΣΙΜΩΝΙΔΟΥ

77 of-Simonides

Οὗτος ὁ τοῦ Κείοιο Σιμωνίδεω ἐστὶ σαωτήρ,
This the of-the Cean of-Simonides is savior
ὃς καὶ τεθνηὼς ζῶντ' ἀπέδωκε χάριν.
who even having-died to-living repaid favor

78. ΔΙΟΝΥΣΙΟΥ ΚΥΖΙΚΗΝΟΥ

78 of-Dionysius of-Cyzicus

Πρηΰτερον γῆράς σε, καὶ οὐ κατὰ νοῦσος ἀμαυρὴ
Gentler old-age you and not down disease dim
ἔσβεσεν· εὐνήθης δ' ὕπνον ὀφειλόμενον,
quenched you-slept and sleep owed
ἄκρα μεριμνήσας, Ἐρατόσθενες· οὐδὲ Κυρήνη
highest-things having-pondered Eratosthenes nor Cyrene
μαῖά σε πατρῴων ἐντὸς ἔδεκτο τάφων,
nurse you of-ancestral within received tombs
Ἀγλαοῦ υἱέ· φίλος δὲ καὶ ἐν ξείνῃ κεκάλυψαι
of-Aglaus son dear and even in foreign-land you-have-been-covered
πὰρ τόδε Πρωτῆος κράσπεδον αἰγιαλοῦ.
by this of-Proteus fringe of-shore

79. ΜΕΛΕΑΓΡΟΥ

79 of-Meleager

— Ὦνθρωπ', Ἡράκλειτος ἐγὼ σοφὰ μοῦνος ἀνευρεῖν
O-man Heraclitus I wise-things alone to-find-out
φαμί· τὰ δ' ἐς πάτραν κρέσσονα καὶ σοφίης·
I-say the and to fatherland better even than-wisdom
λὰξ γὰρ καὶ τοκέωνας, ἰὼ ξένε, δύσφρονας ἄνδρας
with-heel for also parents ho stranger ill-minded men
ὑλάκτευν. — Λαμπρὰ θρεψαμένοισι χάρις.
I-barked-at Bright to-(those)-having-reared gratitude
— Οὐκ ἀπ' ἐμεῦ; — Μὴ τρηχύς. —
Not from me Not rough
Ἐπεὶ τάχα καὶ σύ τι πεύσῃ
Since perhaps also you something will-learn
τρηχύτερον Πάτρας. — Χαῖρε. — Σὺ δ' ἐξ Ἐφέσου.
rougher than-Fatherland Farewell You and from Ephesus

80. ΚΑΛΛΙΜΑΧΟΥ

80 of-Callimachus

Εἶπέ τις, Ἡράκλειτε, τεὸν μόρον, ἐς δέ με δάκρυ
Told someone Heraclitus your fate into and me tear
ἤγαγεν, ἐμνήσθην δ' ὁσσάκις ἀμφότεροι
brought I-remembered and how-often both
ἥλιον ἐν λέσχῃ κατεδύσαμεν· ἀλλὰ σὺ μέν που,
sun in talk we-sank but you indeed somewhere
ξεῖν' Ἁλικαρνησεῦ, τετράπαλαι σποδιή·
stranger Halicarnassian four-times-long-ago ash

αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες, ᾗσιν ὁ πάντων
the but your live nightingales on-which the of-all
ἁρπακτὴς Ἀΐδης οὐκ ἐπὶ χεῖρα βαλεῖ.
snatcher Hades not upon hand will-cast

81. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

81 of-Antipater of-Sidon

Ἑπτὰ σοφῶν, Κλεόβουλε, σὲ μὲν τεκνώσατο Λίνδος·
Of-seven of-sages Cleobulus you indeed bore Lindus
φατὶ δὲ Σισυφία χθὼν Περίανδρον ἔχειν·
says and Sisyphean land Periander to-have
Πιττακὸν ἁ Μιτυλᾶνα· Βίαντα δὲ δῖα Πριήνη·
Pittacus — Mytilene Bias and divine Priene
Μίλητος δὲ Θαλῆν, ἄκρον ἔρεισμα Δίκας·
Miletus and Thales top prop of-Justice
ἁ Σπάρτα Χίλωνα· Σόλωνα δὲ Κεκροπὶς αἶα,
— Sparta Chilon Solon and Cecropian land
πάντας ἀριζάλου σωφροσύνας φύλακας.
all of-conspicuous of-temperance guardians

82. ΑΔΗΛΟΝ

82 uncertain

Δωρίδος ἐκ Μούσης κεκορυθμένον ἀνέρα Βάκχῳ
Dorian from Muse armed man for-Bacchus
καὶ Σατύροις Σικελὸν τῇδ' Ἐπίχαρμον ἔχω.
and for-Satyrs Sicilian here Epicharmus I-hold

83. ΑΛΛΟ

83 another

Τόνδε Θαλῆν Μίλητος Ἰὰς *θρέψασ' ἀνέδειξεν,*
This Thales Miletus Ionian having-reared displayed
ἀστρολόγων *πάντων πρεσβύτατον σοφίῃ.*
of-astronomers all eldest in-wisdom

84. ΑΛΛΟ

84 another

Ἦ ὀλίγον *τόδε σᾶμα, τὸ δὲ κλέος οὐρανόμηκες*
Truly little this tomb the but glory heaven-high
τοῦ πολυφροντίστου *τοῦτο Θάλητος ὅρῃ.*
of-the much-thinking this of-Thales see

85. ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ

85 of-Diogenes Laertius

Γυμνικὸν αὖ *ποτ' ἀγῶνα θεώμενον, ἠέλιε Ζεῦ,*
Athletic again once contest watching sun Zeus
τὸν σοφὸν *ἄνδρα Θαλῆν ἥρπασας ἐκ σταδίου.*
the wise man Thales you-snatched from stadium
αἰνέω *ὅττι μιν ἐγγὺς ἀπήγαγες· ἦ γὰρ ὁ πρέσβυς*
I-praise that him near you-led-away truly for the old-man
οὐκέθ' *ὁρᾶν ἀπὸ γῆς ἀστέρας ἠδύνατο.*
no-longer to-see from earth stars was-able

86. ΑΔΗΛΟΝ

86 uncertain

Ἡ Μήδων ἄδικον παύσασ᾽ ὕβριν ἥδε Σόλωνα
The of-Medes unjust having-stopped insolence this Solon
τόνδε τεκνοῖ Σαλαμὶς θεσμοθέτην ἱερόν.
this bears Salamis lawgiver holy

87. ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ

87 of-Diogenes Laertius

Σῶμα μὲν ἦρε Σόλωνος ἐν ἀλλοδαπῇ Κύπριον πῦρ,
Body indeed lifted of-Solon in foreign Cyprian fire
ὀστὰ δ᾽ ἔχει Σαλαμίς, ὧν κόνις ἀστάχυες·
bones and holds Salamis whose dust ears-of-corn
ψυχὴν δ᾽ ἄξονες εὐθὺς ἐς οὐρανὸν ἤγαγον· εὖ γὰρ
soul and law-tablets straight to heaven led well for
θῆκε νόμοις ἀστοῖς ἄχθεα κουφότατα.
he-set by-laws for-citizens burdens lightest

88. ΤΟΥ ΑΥΤΟΥ

88 of-the same

Φωσφόρε σοὶ Πολύδευκες ἔχω χάριν, οὕνεκεν υἱὸς
Light-bearer to-you Polydeuces I-have thanks because son
Χίλωνος πυγμῇ χλωρὸν ἕλεν κότινον·
of-Chilon with-fist green won wild-olive
εἰ δ᾽ ὁ πατὴρ στεφανοῦχον ἰδὼν τέκνον ἤμυσεν ἡσθείς,
if but the father crowned seeing child sank rejoicing
οὐ νεμεσητόν· ἐμοὶ τοῖος ἴτω θάνατος.
not blameworthy to-me such may-come death

89. ΚΑΛΛΙΜΑΧΟΥ

89 of-Callimachus

Ξεῖνος Ἀταρνείτης τις ἀνείρετο Πιττακὸν οὕτω
Stranger Atarnean someone asked Pittacus thus
τὸν Μυτιληναῖον, παῖδα τὸν Ὑρράδιον·
the Mytilenean son the of-Hyrrhas
“ Ἄττα γέρον, δοιός με καλεῖ γάμος· ἡ μία μὲν δὴ
Father old double me calls marriage the one indeed truly
νύμφη καὶ πλούτῳ καὶ γενεῇ κατ’ ἐμέ·
bride both in-wealth and in-birth equal-to me
ἡ δ’ ἑτέρη προβέβηκε. τί λώϊον; εἰ δ’ ἄγε σύν μοι
the and other is-above which better if and come with me
βούλευσον, ποτέρην εἰς ὑμέναιον ἄγω.”
advise which to wedding I-should-lead
εἶπεν· ὁ δὲ σκίπωνα, γεροντικὸν ὅπλον, ἀείρας,
he-said he and staff old-man’s weapon having-raised
“ Ἠνίδ’, ἐκεῖνοί σοι πᾶν ἐρέουσιν ἔπος·”
Look those to-you every will-say word
(οἱ δ’ ἄρ’ ὑπὸ πληγῇσι θοὰς βέμβικας ἔχοντες
they and then under blows swift tops having
ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ·)
were-spinning broad boys in crossroads
“κείνων ἔρχεο,” φησί, “μετ’ ἴχνια.” χὠ μὲν ἐπέστη
of-them go he-says after tracks and-he indeed stood
πλησίον· οἱ δ’ ἔλεγον· “Τὴν κατὰ σαυτὸν ἔλα.”
near they and said The according-to yourself drive
ταῦτ’ ἀΐων ὁ ξεῖνος ἐφείσατο μείζονος οἴκου
these-things hearing the stranger refrained-from greater house
δράξασθαι, παίδων κληδόνα συνθέμενος.
to-grasp of-boys omen having-taken-to-heart

τὴν δ' ὀλίγην ὡς κεῖνος ἐς οἶκον ἐπήγετο νύμφην,
the and small as he into house led bride
οὕτω καὶ σὺ γ' ἰὼν τὴν κατὰ σαυτὸν ἔλα.
so also you indeed going the according-to yourself drive

90. ΑΛΛΟ

90 another

Κλεινοῖς ἐν δαπέδοισι Πριήνης φύντα καλύπτει
Famous in plains of-Priene born covers
ἥδε Βίαντα πέτρη, κόσμον Ἴωσι μέγαν.
this Bias stone ornament for-Ionians great

91. ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ

91 of-Diogenes Laertius

Τῇδε Βίαντα κέκευθα, τὸν ἀτρέμας ἤγαγεν Ἑρμῆς
Here Bias I-have-hidden whom quietly led Hermes
εἰς Ἀΐδην, πολιῷ γήραϊ νιφόμενον·
to Hades with-gray with-old-age snowed-on
εἶπε γάρ, εἶπε δίκην ἑτάρου τινός· εἶτ' ἀποκλινθεὶς
he-spoke for spoke case of-comrade of-someone then having-leaned
παιδὸς ἐς ἀγκαλίδας μακρὸν ἔτεινεν ὕπνον.
of-boy into arms long stretched sleep

92. ΤΟΥ ΑΥΤΟΥ

92 of-the same

Ἐς Σκυθίην Ἀνάχαρσις ὅτ' ἤλυθε πολλὰ μογήσας,
To Scythia Anacharsis when came much having-toiled
πάντας ἔπειθε βιοῦν ἤθεσιν ἑλλαδικοῖς·
all he-persuaded to-live with-customs Greek
τὸν δ' ἔτι μῦθον ἄκραντον ἐνὶ στομάτεσσιν ἔχοντα
him and still word unfinished in mouths having
πτηνὸς ἐς ἀθανάτους ἥρπασεν ὦκα δόναξ.
winged to immortals snatched swiftly reed

Εἰς Φερεκύδην

On Pherecydes

93. ΑΛΛΟ

93 another

Τῆς σοφίης πάσης ἐν ἐμοὶ τέλος· ἢν δέ τι πάσχω,
Of-the wisdom all in me end if and something I-suffer
Πυθαγόρῃ τῷ ᾽μῷ λέγε ταῦθ', ὅτι πρῶτος ἀπάντων
to-Pythagoras the my say these-things that first of-all
ἐστὶν ἀν' Ἑλλάδα γῆν. οὐ ψεύδομαι ὧδ' ἀγορεύων.
he-is in Hellas land not I-lie thus speaking

Diogenes Laertius' epitaphs on the philosophers fill the section. Anaxagoras called the sun a fiery lump and, rescued by Pericles, took his own life; Socrates drank the hemlock that the Athenians themselves drank in his death; Xenophon went up with Cyrus and was banished, and Plato's epitaph mourns Dion. Speusippus, Xenocrates, Arcesilaus, Lacydes, and Epicurus die of despair, a fall, and drink. Aristotle escapes the impiety charge by aconite, Plato is the healer of souls as Asclepius is of bodies, and Theophrastus, Strato, Lyco, Demetrius, and Heraclides are mocked for the manner of their deaths.

94. ΑΔΗΛΟΝ

94 uncertain

Ἐνθάδε, πλεῖστον ἀληθείας ἐπὶ τέρμα περήσας
Here farthest of-truth to limit having-crossed
οὐρανίου κόσμου, κεῖται Ἀναξαγόρας.
of-heavenly of-order lies Anaxagoras

95. ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ

95 of-Diogenes Laertius

Ἥλιον πυρόεντα μύδρον ποτὲ φάσκεν ὑπάρχειν,
Sun fiery lump once he-said to-be
καὶ διὰ τοῦτο θανεῖν μέλλεν Ἀναξαγόρας·
and for this to-die was-about Anaxagoras
ἀλλ' ὁ φίλος Περικλῆς μὲν ἐρύσατο τοῦτον· ὁ δ' αὑτὸν
but the friend Pericles indeed rescued him he and himself
ἐξάγαγεν βιότου μαλθακίῃ σοφίης.
led-out from-life by-softness of-wisdom

96. ΤΟΥ ΑΥΤΟΥ

96 of-the same

Πῖνέ νυν ἐν Διὸς ὤν, ὦ Σώκρατες· ἦ σε γὰρ ὄντως
Drink now in of-Zeus being O Socrates truly you for really
καὶ σοφὸν εἶπε θεός, καὶ θεὸς ἡ σοφία.
both wise called god and god the wisdom
πρὸς γὰρ Ἀθηναίων κώνειον ἁπλῶς σὺ ἐδέξω,
from for of-Athenians hemlock simply you received
αὐτοὶ δ' ἐξέπιον τοῦτο τεῷ στόματι.
they-themselves but drank-off it with-your mouth

97. ΤΟΥ ΑΥΤΟΥ

97 of-the same

Οὐ μόνον ἐς Πέρσας ἀνέβη Ξενοφῶν διὰ Κῦρον,
Not only to Persians went-up Xenophon because-of Cyrus
ἀλλ' ἄνοδον ζητῶν ἐς Διὸς ἥτις ἄγοι·
but way-up seeking to of-Zeus which might-lead
παιδείης γὰρ ἑῆς Ἑλληνικὰ πράγματα δείξας,
of-education for his-own Greek affairs having-shown
ὡς καλὸν ἡ σοφίη μνήσατο Σωκράτεος.
how fine the wisdom he-recalled of-Socrates

98. ΤΟΥ ΑΥΤΟΥ

98 of-the same

Εἰ καὶ σέ, Ξενοφῶν, Κραναοῦ Κέκροπός τε πολῖται
If even you Xenophon of-Cranaus of-Cecrops and citizens
φεύγειν κατέγνων τοῦ φίλου χάριν Κύρου,
to-be-exiled condemned of-the friend for-sake-of of-Cyrus

ἀλλὰ Κόρινθος ἔδεκτο φιλόξενος, ᾗ σὺ φιληδῶν
but Corinth received hospitable in-which you delighting
οὕτως ἀρέσκῃ κεῖθι καὶ μένειν ἔγνως.
so are-pleased there and to-stay you-resolved

99. ΠΛΑΤΩΝΟΣ ΦΙΛΟΣΟΦΟΥ

99 of-Plato the-Philosopher

Δάκρυα μὲν Ἑκάβῃ τε καὶ Ἰλιάδεσσι γυναιξὶ
Tears indeed for-Hecuba both and for-Trojan women
Μοῖραι ἐπέκλωσαν δή ποτε γεινομέναις·
Fates spun indeed once being-born
σοὶ δέ, Δίων, ῥέξαντι καλῶν ἐπινίκιον ἔργων
for-you but Dion having-done of-fine triumph of-deeds
δαίμονες εὐρείας ἐλπίδας ἐξέχεαν.
gods wide hopes poured-out
κεῖσαι δ' εὐρυχόρῳ ἐν πατρίδι τίμιος ἀστοῖς,
you-lie and spacious in fatherland honored by-citizens
ὦ ἐμὸν ἐκμήνας θυμὸν ἔρωτι Δίων.
O my having-maddened heart with-love Dion

101. ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ

101 of-Diogenes Laertius

Ἀλλ' εἰ μὴ Σπεύσιππον ἐμάνθανον ὧδε θανεῖσθαι,
But if not Speusippus I-had-learned thus to-be-going-to-die
οὐκ ἂν ἔπεισέ μέ τις τόδε λέξαι,
not — would-have-persuaded me anyone this to-say

ὡς ἦν οὐχὶ Πλάτωνι πρὸς αἵματος· οὐ γὰρ ἀθυμῶν
that he-was not to-Plato by blood not for despairing
κάθανεν ἂν διά τι σφόδρα μικρόν.
would-have-died — for something very small

102. ΤΟΥ ΑΥΤΟΥ

102 of-the same

Χαλκῇ προσκόψας λεκάνῃ ποτέ, καὶ τὸ μέτωπον
On-bronze having-stumbled on-basin once and the forehead
πλήξας, ἴαχεν Ὢ σύντονον, εἶτ' ἔθανεν,
having-struck he-cried Ah sharply then died
ὁ πάντα πάντη Ξενοκράτης ἀνὴρ γεγώς.
the all-things everywhere Xenocrates man having-been

103. ΑΝΤΑΓΟΡΟΥ

103 of-Antagoras

Μνήματι τῷδε Κράτητα θεουδέα καὶ Πολέμωνα
In-tomb this Crates godly and Polemo
ἔννεπε κρύπτεσθαι, ξεῖνε, παρερχόμενος,
say to-be-hidden stranger passing-by
ἄνδρας ὁμοφροσύνῃ μεγαλήτορας, ὧν ἀπὸ μῦθος
men in-concord great-hearted of-whom from speech
ἱερὸς ἤϊσσεν δαιμονίου στόματος,
holy darted of-divine of-mouth
καὶ βίοτος καθαρὸς σοφίας ἐπὶ θεῖον ἐκόσμει
and life pure of-wisdom to divine adorned
αἰῶν' ἀστρέπτοις δόγμασι πειθόμενος.
lifetime by-unswerving by-doctrines obeying

104. ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ

104 of-Diogenes Laertius

Ἀρκεσίλαε, τί μοι τί τοσοῦτον ἄκρητον ἀφειδῶς
Arcesilaus why (tell)-me why so-much unmixed unsparingly
ἔσπασας, ὥστε φρενῶν ἐκτὸς ὄλισθες ἑῶν;
you-gulped so-that of-wits outside you-slipped your-own
οἰκτείρω σ' οὐ τόσσον ἐπεὶ θάνες, ἀλλ' ὅτι Μούσας
I-pity you not so-much because you-died but that Muses
ὕβρισας, οὐ μετρίῃ χρησάμενος κύλικι.
you-outraged not moderate having-used cup

105. ΤΟΥ ΑΥΤΟΥ

105 of-the same

Καὶ σέο, Λακύδη, φάτιν ἔκλυον, ὡς ἄρα καί σε
Also of-you Lacydes report I-heard that then also you
Βάκχος ἑλὼν ἀΐδην ποσσὶν ἔσυρεν ἄκροις.
Bacchus having-seized to-Hades by-feet dragged by-the-tips
ἦ σαφὲς ἦν· Διόνυσος ὅτ' ἂν πολὺς ἐς δέμας ἔλθῃ,
truly clear it-was Dionysus when — much into body comes
λῦσε μέλη· διὸ δὴ μήτι Λυαῖος ἔφυ;
he-loosed limbs therefore indeed not-perhaps Lyaeus was-born

106. ΤΟΥ ΑΥΤΟΥ

106 of-the same

"Χαίρετε καὶ μέμνησθε τὰ δόγματα·" τοῦτ' Ἐπίκουρος
Farewell and remember the doctrines this Epicurus
ὕστατον εἶπε φίλοις οἷσιν ἀποφθίμενος·
last said to-friends his-own dying

θερμὴν ἐς πύελον γὰρ ἐσήλυθε, καὶ τὸν ἄκρητον
warm into bath for he-went-into and the unmixed
ἔσπασεν, εἶτ᾽ ἀΐδην ψυχρὸν ἐπεσπάσατο.
drank then Hades cold drew-on

107. ΤΟΥ ΑΥΤΟΥ

107 of-the same

Μέλλων Εὐρυμέδων ποτ᾽ Ἀριστοτέλην ἀσεβείας
Being-about Eurymedon once Aristotle of-impiety
γράψασθαι, Δηοῦς μύστιδος ὢν πρόπολος,
to-indict of-Deo of-initiate being minister
ἀλλὰ πιὼν ἀκόνιτον ὑπέκφυγε· τοῦτ᾽ ἀκονιτὶ
but having-drunk aconite escaped this without-a-fight
ἦν ἄρα νικῆσαι συκοφάσεις ἀδίκους.
it-was-possible then to-conquer slanders unjust

108. ΤΟΥ ΑΥΤΟΥ

108 of-the same

Καὶ πῶς εἰ μὴ Φοῖβος ἀν᾽ Ἑλλάδα φῦσε Πλάτωνα,
And how if not Phoebus throughout Hellas begot Plato
ψυχὰς ἀνθρώπων γράμμασιν ἠκέσατο;
souls of-men with-letters would-he-have-healed
καὶ γὰρ ὁ τοῦδε γεγὼς Ἀσκληπιός ἐστιν ἰητὴρ
and for the of-him born Asclepius is healer
σώματος, ὡς ψυχῆς ἀθανάτοιο Πλάτων.
of-body as of-soul of-immortal Plato

109. ΤΟΥ ΑΥΤΟΥ

109 of-the same

Φοῖβος ἔφυσε βροτοῖς Ἀσκληπιὸν ἠδὲ Πλάτωνα,
Phoebus begot for-mortals Asclepius and Plato
τὸν μὲν ἵνα ψυχήν, τὸν δ' ἵνα σῶμα σάοι·
the(-one) indeed that soul the(-other) and that body might-save
δαισάμενος δὲ γάμον, πόλιν ἤλυθεν ἣν ποθ' ἑαυτῷ
having-feasted and wedding to-city he-came which once for-himself
ἔκτισε, καὶ δαπέδῳ Ζηνὸς ἐνιδρύσατο.
founded and on-floor of-Zeus set-himself-up

110. ΤΟΥ ΑΥΤΟΥ

110 of-the same

Οὐκ ἄρα τοῦτο μάταιον ἔπος μερόπων τινὶ λέχθη,
Not then this vain word of-mortals by-someone was-said
ῥήγνυσθαι σοφίης τόξον ἀνιέμενον·
to-break of-wisdom bow being-slackened
δὴ γὰρ καὶ Θεόφραστος ἕως ἐπόνει μὲν ἄπηρος
indeed for also Theophrastus while toiled indeed unmaimed
ἦν δέμας, εἶτ' ἀνεθεὶς κάτθανε πηρομελής.
was in-body then relaxed died maimed-in-limb

111. ΤΟΥ ΑΥΤΟΥ

111 of-the same

Λεπτὸς ἀνὴρ δέμας ἦν — εἰ μὴ προσέχῃς, ἀπόχρη μοι·
Thin man in-body he-was if not you-heed it-suffices for-me
Στράτωνα τοῦτ' οὖν φημί γε,
Strato this then I-say indeed

Λάμψακος ὃν ποτ᾽ ἔφυσεν· ἀεὶ δὲ νόσοισι παλαίων
Lampsacus whom once bore always and with-diseases wrestling
θνήσκει λαθών, οὐδ᾽ ᾔσθετο.
dies unnoticed nor perceived

112. ΤΟΥ ΑΥΤΟΥ

112 of-the same

Οὐ μὰ τόν, οὐδὲ Λύκωνα παρήσομεν, ὅττι ποδαλγὴς
No by him nor Lyco we-will-pass-over that gouty
κάτθανε· θαυμάζω τοῦτο μάλιστα δ᾽ ἐγώ,
he-died I-marvel-at this most and I
τὴν οὕτως ἀΐδαο μακρὴν ὁδὸν εἰ πρὶν ὁ ποσσὶν
the so of-Hades long road that before the with-feet
ἀλλοτρίοις βαδίσας ἔδραμε νυκτὶ μιῇ.
others' having-walked ran in-night one

113. ΤΟΥ ΑΥΤΟΥ

113 of-the same

Ἀνεῖλεν ἀσπὶς τὸν σοφὸν Δημήτριον
Killed asp the wise Demetrius
ἰὸν ἔχουσα πολὺν
venom having much
ἄσμηκτον, οὐ στίλβουσα φῶς ἀπ᾽ ὀμμάτων,
unwiped not flashing light from eyes
ἀλλ᾽ ἀΐδην μέλανα.
but Hades black

114. ΤΟΥ ΑΥΤΟΥ

114 of-the same

Ἤθελες ἀνθρώποισι λιπεῖν φάτιν, Ἡρακλείδη,
You-wished for-men to-leave report Heraclides
ὥς ῥα θανὼν ἐγένου ζωὸς ἅπασι δράκων·
that then having-died you-became living to-all serpent
ἀλλὰ διεψεύσθης σεσοφισμένε· δὴ γὰρ ὁ μὲν θὴρ
but you-were-deceived clever-one indeed for the indeed beast
ἦε δράκων, σὺ δὲ θήρ, οὐ σοφὸς ὤν, ἑάλως.
was serpent you but beast not wise being were-caught

Diogenes Laertius goes on. Antisthenes, a dog by nature, died of consumption; Diogenes the Cynic was killed by a dog's bite; Zeno is praised by Zenodotus, and dies fasting in old age or, after a stumble, strikes the earth and says he comes of his own accord. Pythagoras sacrificed an ox for his famous figure, forbade eating animals, died for refusing to cross a bean field, and pitied a beaten puppy for the soul of a friend in it. Empedocles fell into Etna's crater against his will, or broke his thigh falling from a cart. Epicharmus surpasses others in wisdom, Philolaus was killed on suspicion of tyranny, and Heraclitus died of dropsy and calls the many no one. Zeno of Elea and Anaxarchus are pounded in a mortar; Protagoras, Gorgias the Cynic, Hippocrates, Priam, and Hector close the run.

115. ΤΟΥ ΑΥΤΟΥ

115 of-the same

Τὸν βίον ἦσθα Κύων, Ἀντίσθενες, ὧδε πεφυκώς,
The life you-were Dog Antisthenes so made-by-nature
ὥστε δακεῖν κραδίην ῥήμασιν, οὐ στόμασιν.
as to-bite heart with-words not with-mouths
ἀλλ' ἔθανες φθισικός, τάχ' ἐρεῖ τις ἴσως·
but you-died consumptive perhaps will-say someone maybe
τί δὲ τοῦτο;
what but this
πάντως εἰς ἀΐδην δεῖ τιν' ὁδηγὸν ἔχειν.
by-all-means to Hades one-must some guide to-have

116. ΤΟΥ ΑΥΤΟΥ

116 of-the same

Διόγενες, ἄγε λέγε, τίς ἔλαβέ σε μόρος
Diogenes come tell what took you fate
ἐς Ἀΐδος; ἔλαβέ με κυνὸς ἄγριον ὀδάξ.
to of-Hades took me of-dog savage bite

117. ΖΗΝΟΔΟΤΟΥ

117 of-Zenodotus

Ἔκτισας αὐτάρκειαν, ἀφεὶς κενεαυχέα πλοῦτον,
You-founded self-sufficiency having-let-go vain-boasting wealth
Ζήνων, σὺν πολιῷ σεμνὸς ἐπισκυνίῳ·
Zeno with gray solemn brow
ἄρσενα γὰρ λόγον εὗρες, ἐνηθλήσω δὲ προνοίᾳ,
manly for doctrine you-found you-strove and by-providence
αἵρεσιν ἀτρέστου μητέρ' ἐλευθερίης.
school of-fearless mother of-freedom
εἰ δὲ πάτρα Φοίνισσα, τίς ὁ φθόνος; ἦν καὶ ὁ Κάδμος
if but fatherland Phoenician what the envy was also — Cadmus
κεῖνος, ἀφ' οὗ γραπτὰν Ἑλλὰς ἔχει σελίδα.
that-one from whom written Hellas has page

118. ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ

118 of-Diogenes Laertius

Τὸν Κιτιέα Ζήνωνα θανεῖν λόγος ὡς ὑπὸ γήρως
The of-Citium Zeno to-die story as by old-age
πολλὰ καμὼν ἐλύθη μένων ἄσιτος·
much having-toiled was-released remaining without-food

οἱ δ' ὅτι προσκόψας ποτ'
the(-others) and that having-stumbled once
ἔφη χερὶ γᾶν ἀλοήσας,
he-said with-hand earth having-beaten
"Ἔρχομαι αὐτόματος· τί δὴ καλεῖς με;"
I-come of-my-own-accord why indeed you-call me

119. ΑΔΗΛΟΝ

119 uncertain

Ἡνίκα Πυθαγόρης τὸ περικλεὲς εὕρετο γράμμα
When Pythagoras the far-famed found figure
κεῖν', ἐφ' ὅτῳ κλεινὴν ἤγαγε βουθυσίην.
that for which famous he-led ox-sacrifice

120. ΞΕΝΟΦΑΝΟΥΣ

120 of-Xenophanes

Καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
And once him of-being-beaten of-puppy passing-by
φασὶν ἐποικτεῖραι, καὶ τόδε φάσθαι ἔπος·
they-say to-have-pitied and this to-have-said word
"Παῦσαι, μηδὲ ῥάπιζ', ἐπεὶ φίλου ἀνέρος ἐστὶ
Stop nor beat since of-dear of-man it-is
ψυχή, τὴν ἔγνων, φθεγξαμένης ἀΐων."
soul which I-knew of-crying hearing

121. ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ

121 of-Diogenes Laertius

Οὐ μόνος ἐμψύχων ἄπεχες χέρας, ἀλλὰ καὶ ἡμεῖς·
Not alone from-living you-kept hands but also we
τίς γὰρ ὃς ἐμψύχων ἥψατο, Πυθαγόρη;
who for that living touched Pythagoras
ἀλλ' ὅταν ἑψηθῇ τι καὶ ὀπτηθῇ καὶ ἁλισθῇ
but when is-boiled something and is-roasted and is-salted
δὴ τότε καὶ ψυχὴν οὐκ ἔχον ἐσθίομεν.
indeed then also soul not having we-eat

122. ΤΟΥ ΑΥΤΟΥ

122 of-the same

Αἰαῖ, Πυθαγόρης τί τόσον κυάμους ἐσεβάσθη,
Alas Pythagoras why so-much beans revered
καὶ θάνε φοιτηταῖς ἄμμιγα τοῖς ἰδίοις;
and died with-pupils together the his-own
χωρίον ἦν κυάμων· ἵνα μὴ τούτους δὲ πατήσῃ
field was of-beans that not these and he-might-tread
ἐξ Ἀκραγαντίνων κάτθαν' ἐνὶ τριόδῳ.
by of-Acragantines he-died at crossroad

123. ΤΟΥ ΑΥΤΟΥ

123 of-the same

Καὶ σύ ποτ', Ἐμπεδόκλεις,
And you once Empedocles
διερῇ φλογὶ σῶμα καθήρας
with-liquid with-flame body having-cleansed
πῦρ ἀπὸ κρητήρων ἔκπιες ἀθάνατον·
fire from craters drank-off immortal
οὐκ ἐρέω δ' ὅτι σαυτὸν ἑκὼν βάλες ἐς ῥόον Αἴτνης,
not I-will-say but that yourself willingly you-threw into stream of-Etna
ἀλλὰ λαθεῖν ἐθέλων ἔμπεσες οὐκ ἐθέλων.
but to-escape-notice wishing you-fell-in not wishing

124. ΤΟΥ ΑΥΤΟΥ

124 of-the same

Ναὶ μὴν Ἐμπεδοκλῆα θανεῖν λόγος ὥς ποτ' ἀμάξης
Yes truly Empedocles to-die story that once from-cart
ἔκπεσε, καὶ μηρὸν κλάσσατο δεξιτερόν·
he-fell and thigh broke right
εἰ δὲ πυρὸς κρητῆρας ἐσήλατο καὶ πίε τὸ ζῆν,
if but of-fire craters he-leaped-into and drank the to-live
πῶς ἂν ἔτ' ἐν Μεγάροις δείκνυτο τοῦδε τάφος;
how — still in Megara would-be-shown of-him tomb

125. ΑΔΗΛΟΝ

125 uncertain

Εἴ τι παραλλάσσει φαέθων μέγας ἅλιος ἄστρων,
If at-all surpasses shining great sun than-stars
καὶ πόντος ποταμῶν μείζον᾽ ἔχει δύναμιν,
and sea than-rivers greater has might
φαμὶ τοσοῦτον ἐγὼ σοφίᾳ προέχειν Ἐπίχαρμον,
I-say so-much I in-wisdom to-excel Epicharmus
ὃν πατρὶς ἐστεφάνωσ᾽ ἅδε Συρακοσίων.
whom fatherland crowned this of-Syracusans

126. ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ

126 of-Diogenes Laertius

Τὴν ὑπόνοιαν πᾶσι μάλιστα λέγω θεραπεύειν·
The suspicion to-all most I-say to-tend
εἰ γὰρ καὶ μὴ δρᾷς, ἀλλὰ δοκεῖς, ἀτυχεῖς.
if for even not you-do but you-seem you-are-unfortunate
οὕτω καὶ Φιλόλαον ἀνεῖλε Κρότων ποτὲ πάτρη,
so also Philolaus killed Croton once fatherland
ὥς μιν ἔδοξε θέλειν δῶμα τύραννον ἔχειν.
as him it-seemed to-wish house tyrant to-have

127. ΤΟΥ ΑΥΤΟΥ

127 of-the same

Πολλάκις Ἡράκλειτον ἐθαύμασα, πῶς ποτε τὸ ζῆν
Often Heraclitus I-wondered how ever the to-live
ὧδε διαντλήσας δύσμορος, εἶτ᾽ ἔθανεν·
so having-drained-to-the-dregs ill-fated then died

σῶμα γὰρ ἀρδεύουσα κακὴ νόσος ὕδατι, φέγγος
body for watering evil disease with-water light
ἔσβεσεν ἐκ βλεφάρων καὶ σκότον ἠγάγετο.
quenched from eyelids and darkness brought-on

128. ΑΔΗΛΟΝ

128 uncertain

Ἡράκλειτος ἐγώ· τί μ᾽ ἄνω κάτω ἕλκετ᾽ ἄμουσοι;
Heraclitus I why me up down drag you-unlettered
οὐχ ὑμῖν ἐπόνουν, τοῖς δ᾽ ἔμ᾽ ἐπισταμένοις.
not for-you I-toiled for-the but me knowing
εἷς ἐμοὶ ἄνθρωπος τρισμύριοι, οἱ δ᾽ ἀνάριθμοι
one to-me man thirty-thousand the and countless
οὐδείς. ταῦτ᾽ αὐδῶ καὶ παρὰ Περσεφόνῃ.
no-one this I-proclaim even beside Persephone

129. ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ

129 of-Diogenes Laertius

Ἤθελες, ὦ Ζήνων, καλὸν ἤθελες, ἄνδρα τύραννον
You-wished O Zeno fine you-wished man tyrant
κτείνας ἐκλῦσαι δουλοσύνης Ἐλέαν·
having-killed to-free from-slavery Elea
ἀλλ᾽ ἐδάμης· δὴ γάρ σε λαβὼν
but you-were-subdued indeed for you having-taken
ὁ τύραννος ἐν ὅλμῳ
the tyrant in mortar
κόψε· τί τοῦτο λέγω; σῶμα γάρ, οὐχὶ δὲ σέ.
pounded what this I-say body for not but you

130. ΤΟΥ ΑΥΤΟΥ

130 of-the same

Καὶ σεῦ, Πρωταγόρη, φάτιν ἔκλυον, ὡς ἄρ' Ἀθηνῶν
Also of-you Protagoras report I-heard that then from-Athens
ἔκ ποτ' ἰὼν καθ' ὁδὸν πρέσβυς ἐὼν ἔθανες·
out once going on road old being you-died
εἵλετο γάρ σε φυγεῖν Κέκροπος πόλις·
chose for you to-be-exiled of-Cecrops city
ἀλλὰ σὺ μέν που
but you indeed I-suppose
Παλλάδος ἄστυ φύγες, Πλουτέα δ' οὐκ ἔφυγες.
of-Pallas town fled Pluto but not escaped

131. ΑΛΛΟ

131 another

Πρωταγόρην λόγος ὧδε θανεῖν φέρει· ἀλλὰ γὰρ †οὔτι
Protagoras story so to-die reports but for not-at-all
ἥκατο σῶμα γαῖαν, ψυχὰ δ' ἅλτο σοφοῖς.
reached body earth soul but leaped to-the-wise

132. ΑΛΛΟ

132 another

Καὶ σέο, Πρωταγόρη, σοφίης ἴδμεν βέλος ὀξύ,
Also of-you Protagoras of-wisdom we-know arrow sharp
ἀλλ' οὐ τιτρῶσκον, †ὧν δὲ γλυκὺ †κρῖμα.
but not wounding of-which and sweet judgment

133. ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ

133 of-Diogenes Laertius

Πτίσσετε, Νικοκρέων, ἔτι καὶ μάλα, θύλακός ἐστι·
Pound Nicocreon still even very bag it-is
πτίσσετ', Ἀνάξαρχος δ' ἐν Διός ἐστι πάλαι·
pound Anaxarchus but in of-Zeus is long-ago
καὶ σὲ διαστείλασα γνάφοις ὀλίγον τάδε λέξει
and you having-stretched-on with-carding-combs a-little these will-say
ῥήματα Περσεφόνη· "Ἔρρε μυλωθρὲ κακέ."
words Persephone Begone miller wicked

134. ΑΔΗΛΟΝ

134 uncertain

Ἐνθάδε Γοργίου ἡ κεφαλὴ κυνικοῦ κατάκειμαι,
Here of-Gorgias the head of-the-Cynic I-lie
οὐκέτι χρεμπτομένη, οὔτ' ἀπομυσσομένη.
no-longer clearing-throat nor blowing-nose

135. ΑΛΛΟ

135 another

Θεσσαλὸς Ἱπποκράτης, Κῷος γένος, ἐνθάδε κεῖται,
Thessalian Hippocrates Coan by-race here lies
Φοίβου ἀπὸ ῥίζης ἀθανάτου γεγαώς,
of-Phoebus from root of-immortal born
πλεῖστα τρόπαια νόσων στήσας ὅπλοις Ὑγιείης,
very-many trophies of-diseases having-set-up with-weapons of-Health
δόξαν ἑλὼν πολλῶν οὐ τύχᾳ, ἀλλὰ τέχνᾳ.
glory having-won of-many not by-chance but by-art

136. ΑΝΤΙΠΑΤΡΟΥ

136 of-Antipater

Ἥρωος Πριάμου βαιὸς τάφος· οὐχ ὅτι τοίου
Of-hero of-Priam small tomb not that of-such
ἄξιος, ἀλλ᾽ ἐχθρῶν χερσὶν ἐχωννύμεθα.
worthy but of-enemies by-hands we-were-heaped

137. ΑΔΕΣΠΟΤΟΝ

137 anonymous

Μή με τάφῳ σύγκρινε τὸν Ἕκτορα, μηδ᾽ ἐπὶ τύμβῳ
Not me by-tomb judge — Hector nor by mound
μέτρει τὸν πάσης Ἑλλάδος ἀντίπαλον,
measure the of-all of-Hellas opponent
Ἰλιάς, αὐτὸς Ὅμηρος ἐμοὶ τάφος, Ἑλλάς, Ἀχαιοὶ
Iliad himself Homer to-me tomb Hellas Achaeans
φεύγοντες — τούτοις πᾶσιν ἐχωννύμεθα·
fleeing by-these all we-were-heaped
[εἰ δ᾽ ὀλίγην ἀθρεῖς ἐπ᾽ ἐμοὶ κόνιν, οὐκ ἐμοὶ αἶσχος·
if but little you-see on me dust not to-me shame
Ἑλλήνων ἐχθραῖς χερσὶν ἐχωννύμεθα.]
of-Greeks by-hostile by-hands we-were-heaped

Hector is mourned as the bulwark of Troy, whose death silenced the Iliad's page, and Troy died with him. Archias' Hector names his land and father, and Antiphilus' elms over Protesilaus wither when they see Troy. Achilles' tomb stands on the shore, Patroclus and Achilles are hailed together, and Nestor lies at Pylos. Virtue mourns at Ajax's tomb because Deceit won the arms; Ajax alone defended the ships, and only his own hand could kill him. Hector and Ajax exchanged a sword and a belt, and each gift brought its receiver's death. A bronze maiden guards Midas' tomb, Coroebus' Fate stands on his grave, and the mime Philistion died often on the stage.

138. ΑΚΗΡΑΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

138 of-Aceratus the-Grammarian

Ἕκτορ Ὁμηρείῃσιν ἀεὶ βεβοημένε βίβλοις,
Hector in-Homeric ever shouted-of books
θειοδόμου τείχευς ἔρκος ἐρυμνότατον,
of-god-built of-wall bulwark strongest
ἐν σοὶ Μαιονίδης ἀνεπαύσατο· σοῦ δὲ θανόντος,
in you Maeonides rested of-you and having-died
Ἕκτορ, ἐσιγήθη καὶ σελὶς Ἰλιάδος.
Hector was-silenced also page of-Iliad

139. ΑΛΛΟ

139 another

Ἕκτορι μὲν Τροίη συγκάθανεν, οὐδ' ἔτι χεῖρας
With-Hector indeed Troy died-together nor still hands
ἀντῆρεν Δαναῶν παισὶν ἐπερχομένοις·
raised-against of-Danaans sons attacking

Πέλλα δ' Ἀλεξάνδρῳ συναπώλετο. πατρίδες ἆρα
Pella and with-Alexander perished-together fatherlands then
ἀνδράσιν, οὐ πάτραις ἄνδρες ἀγαλλόμεθα.
in-men not in-fatherlands men we-glory

140. ΑΡΧΙΟΥ ΜΑΚΕΔΟΝΟΣ

140 of-Archias of-Macedon

Καὶ γενέταν τοῦ νέρθε καὶ οὔνομα καὶ χθόνα φώνει,
Both father of-the below and name and land proclaim
στάλα, καὶ ποίᾳ κηρὶ δαμεὶς ἔθανε. —
stele and by-what by-doom subdued he-died
πατὴρ μὲν Πρίαμος, γᾶ δ' Ἴλιον, οὔνομα δ' Ἕκτωρ,
father indeed Priam land and Ilium name and Hector
ὦνερ, ὑπὲρ πάτρας δ' ὤλετο μαρνάμενος.
O-man for fatherland and he-perished fighting

141. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ

141 of-Antiphilus of-Byzantium

Θεσσαλὲ Πρωτεσίλαε, σὲ μὲν πολὺς ᾄσεται αἰών,
Thessalian Protesilaus you indeed long will-sing age
Τροίᾳ ὀφειλομένου πτώματος ἀρξάμενον·
for-Troy of-owed of-fall having-begun
σῆμα δέ τοι πτελέῃσι συνηρεφὲς ἀμφικομεῦσι
tomb and your with-elms over-shaded grow-leaves-about
Νύμφαι, ἀπεχθομένης Ἰλίου ἀντιπέρας·
Nymphs of-hated of-Ilium opposite

δένδρα δὲ δυσμήνιτα, καὶ ἢν ποτὶ τεῖχος ἴδωσι
trees and wrathful even if toward wall they-see
Τρώϊον, αὐαλέαν φυλλοχοεῦντι κόμην,
Trojan withered shed-leaves foliage
ὅσσος ἐν ἡρώεσσι τότ' ἦν χόλος, εἰ μέρος ἀκμὴν
how-great among heroes then was anger if part still
ἐχθρὸν ἐν ἀψύχοις σώζεται ἀκρεμόσιν;
hostile in lifeless is-kept branches

142. ΑΔΗΛΟΝ

142 uncertain

Τύμβος Ἀχιλλῆος ῥηξήνορος, ὃν ποτ' Ἀχαιοὶ
Tomb of-Achilles of-men-breaking which once Achaeans
δώμησαν, Τρώων δεῖμα καὶ ἐσσομένων·
built of-Trojans terror also of-(those)-to-be
αἰγιαλῷ δὲ νένευκεν, ἵνα στοναχῇσι θαλάσσης
to-shore and leans that with-groans of-sea
κυδαίνοιτο πάϊς τῆς ἁλίας Θέτιδος.
might-be-glorified son of-the sea of-Thetis

143. ΑΔΗΛΟΝ

143 uncertain

Ἄνδρε δύω φιλότητι καὶ ἐν τεύχεσσιν ἀρίστω,
Men two in-friendship and in arms best
χαίρετον, Αἰακίδη, καὶ σύ, Μενοιτιάδη.
farewell Aeacides and you Menoetiades

144. ΑΔΕΣΠΟΤΟΝ

144 anonymous

Ἡδυεπὴς Νέστωρ Πύλιος Νηλήϊος ἥρως
Sweet-voiced Nestor Pylian Neleian hero
ἐν Πύλῳ ἠγαθέῃ τύμβον ἔχει τριγέρων.
in Pylos holy tomb has thrice-old

145. ΑΣΚΛΗΠΙΑΔΟΥ

145 of-Asclepiades

Ἅδ' ἐγὼ ἁ τλάμων Ἀρετὰ παρὰ τῷδε κάθημαι
Here I the wretched Virtue beside this sit
Αἴαντος τύμβῳ κειραμένα πλοκάμους,
of-Ajax tomb having-shorn locks
θυμὸν ἄχει μεγάλῳ βεβολημένα, εἰ παρ' Ἀχαιοῖς
heart with-grief with-great stricken if among Achaeans
ἁ δολόφρων Ἀπάτα κρέσσον ἐμεῦ δύναται.
the guileful Deceit stronger than-me is-able

146. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

146 of-Antipater of-Sidon

Σῆμα παρ' Αἰάντειον ἐπὶ Ῥοιτηΐσιν ἀκταῖς
Tomb by of-Ajax on Rhoetean shores
θυμοβαρὴς Ἀρετὰ μύρομαι ἑζομένα,
heart-heavy Virtue I-lament seated
ἀπλόκαμος, πινόεσσα, διὰ κρίσιν ὅττι Πελασγῶν
unbraided squalid because-of judgment that of-Pelasgians
οὐκ ἀρετὰ νικᾶν ἔλλαχεν, ἀλλὰ δόλος.
not virtue to-win got but guile

τεύχεα δ᾽ ἂν λέξειεν Ἀχιλλέος· “Ἄρσενος ἀκμᾶς,
arms and — would-say of-Achilles Of-manly of-valor
οὐ σκολιῶν μύθων ἄμμες ἐφιέμεθα.”
not of-crooked of-tales we desire

147. ΑΡΧΙΟΥ

147 of-Archias

Μοῦνος ἐναιρομένοισιν ὑπέρμαχος ἀσπίδα τείνας,
Alone for-being-slain defender shield having-stretched
νηυσὶ βαρὺν Τρώων, Αἶαν, ἔμεινας ἄρην·
for-ships heavy of-Trojans Ajax you-withstood war
οὐδέ σε χερμαδίων ὦσεν κτύπος, οὐ νέφος ἰῶν,
nor you of-stones pushed din not cloud of-arrows
οὐ πῦρ, οὐ δοράτων, οὐ ξιφέων πάταγος·
not fire not of-spears not of-swords clash
ἀλλ᾽ αὔτως προβλής τε καὶ ἔμπεδος, ὥς τις ἐρίπνα
but simply jutting both and firm as some crag
ἱδρυθείς, ἔτλης λαίλαπα δυσμενέων.
set-fast you-endured storm of-enemies
εἰ δέ σε μὴ τεύχεσσιν Ἀχιλλέος ὥπλισεν Ἑλλάς,
if but you not with-arms of-Achilles armed Hellas
ἄξιον ἀντ᾽ ἀρετᾶς ὅπλα ποροῦσα γέρας,
worthy for valor arms giving prize
Μοιράων βουλῇσι τάδ᾽ ἤμπλακεν, ὡς ἂν ὑπ᾽ ἐχθρῶν
of-Fates by-counsels this erred that — by enemies
μή τινος, ἀλλὰ σὺ σῇ πότμον ἕλῃς παλάμῃ.
not of-anyone but you by-your-own doom might-take hand

148. ΑΔΕΣΠΟΤΟΝ

148 anonymous

Σῆμα τόδ' Αἴαντος Τελαμωνίου, ὃν κτάνε Μοῖρα,
Tomb this of-Ajax of-Telamonian whom killed Fate
αὐτοῦ χρησαμένα καὶ χερὶ καὶ ξίφεϊ.
his-own having-used both hand and sword
οὐδὲ γὰρ ἐν θνητοῖσι δυνήσατο καὶ μεμαυῖα
not for among mortals was-able even striving
εὑρέμεναι Κλωθὼ τῷδ' ἕτερον φονέα.
to-find Clotho for-this other slayer

149. ΛΕΟΝΤΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

149 of-Leontius Scholasticus

Κεῖται ἐνὶ Τροίῃ Τελαμώνιος, οὔ τινι δ' ἔμπης
Lies in Troy Telamonian not to-anyone but nevertheless
ἀντιβίων ὀπάσας εὖχος ἑοῦ θανάτου·
of-foes having-granted boast of-his-own of-death
τόσσης γὰρ χρόνος ἄλλον ἐπάξιον ἀνέρα τόλμης
of-so-great for time other worthy man of-daring
οὐχ εὑρών, παλάμῃ θῆκεν ὑπ' αὐτοφόνῳ.
not having-found hand set under self-slaying

150. ΤΟΥ ΑΥΤΟΥ

150 of-the same

Αἴας ἐν Τροίῃ μετὰ μυρίον εὖχος ἀέθλων
Ajax in Troy after countless boast of-contests
μέμφεται οὐκ ἐχθροῖς κείμενος, ἀλλὰ φίλοις.
blames not enemies lying but friends

151. ΑΛΛΟ

151 another

Ἕκτωρ Αἴαντι ξίφος ὤπασεν, Ἕκτορι δ' Αἴας
Hector to-Ajax sword gave to-Hector and Ajax
ζωστῆρ'· ἀμφοτέρων ἡ χάρις εἷς θάνατος.
belt of-both the favor one death

152. ΑΛΛΟ

152 another

Πικρὴν ἀλλήλοις Ἕκτωρ χάριν ἠδὲ φέρασπις
Bitter to-one-another Hector favor and shield-bearing
Αἴας ἐκ πολέμου μνῆμ' ἔπορον φιλίης·
Ajax from war memorial gave of-friendship
Ἕκτωρ γὰρ ζωστῆρα λαβὼν ξίφος ἔμπαλι δῶκε·
Hector for belt having-received sword in-turn gave
τὴν δὲ χάριν δώρων πείρασαν ἐν θανάτῳ·
the and favor of-gifts they-tested in death
τὸ ξίφος εἶλ' Αἴαντα μεμηνότα, καὶ πάλι ζωστὴρ
the sword took Ajax raving and again belt
εἵλκυσε Πριαμίδην δίφρια συρόμενον.
dragged son-of-Priam from-chariot being-dragged
οὕτως ἐξ ἐχθρῶν αὐτοκτόνα πέμπετο δῶρα,
so from enemies self-slaying were-sent gifts
ἐν χάριτος προφάσει μοῖραν ἔχοντα μόρου.
in of-favor pretext doom holding of-death

153. ΟΜΗΡΟΥ, *οἱ δὲ* ΚΛΕΟΒΟΥΛΟΥ ΤΟΥ ΛΙΝΔΙΟΥ

153 of-Homer the(-others) and of-Cleobulus the of-Lindus

Χαλκῆ παρθένος εἰμί, Μίδα δ' ἐπὶ σήματι κεῖμαι.
Bronze maiden I-am of-Midas and on tomb I-lie
ἔστ' ἂν ὕδωρ τε νάῃ, καὶ δένδρεα μακρὰ τεθήλῃ,
as-long-as — water both flows and trees tall flourish
αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ,
there here remaining much-lamented on tomb
ἀγγελέω παριοῦσι, Μίδας ὅτι τῇδε τέθαπται.
I-will-announce to-passers-by Midas that here is-buried

Εἰς Κόροιβον

On Coroebus

154. ΑΔΗΛΟΝ

154 uncertain

Κοινὸν ἐγὼ Μεγαρεῦσι καὶ Ἰναχίδαισιν ἄθυρμα
Common I for-Megarians and for-Inachids plaything
ἵδρυμαι, Ψαμάθης ἔκδικον οὐλομένης·
I-am-set-up of-Psamathe avenger of-destroyed
εἰμὶ δὲ Κὴρ τυμβοῦχος· ὁ δὲ κτείνας με Κόροιβος·
I-am and Fate tomb-holder the and having-killed me Coroebus
κεῖται δ' ὧδ' ὑπ' ἐμοῖς ποσσὶ διὰ τρίποδα·
lies and here under my feet because-of tripod
Δελφὶς γὰρ φάμα τόδ' ἐθέσπισεν, ὄφρα γενοίμαν
Delphic for voice this prophesied that I-might-become
τᾶς κείνου νύμφας σῆμα καὶ ἱστορίης.
of-the of-his of-bride memorial and of-story

Εἰς Φιλιστίωνα τὸν Νικαέα γελωτοποιόν

On Philistion the Nicaean laughter-maker

155. ΑΔΕΣΠΟΤΟΝ

155 anonymous

Ὁ τὸν πολυστένακτον ἀνθρώπων βίον
He-who the much-groaning of-men life
γέλωτι κεράσας Νικαεὺς Φιλιστίων
with-laughter having-mixed Nicaean Philistion
ἐνταῦθα κεῖμαι, λείψανον παντὸς βίου,
here I-lie remnant of-all life
πολλάκις ἀποθανών, ὧδε δ' οὐδεπώποτε.
often having-died thus but never-yet

Eumelus lived free by birdlime and reeds and left them to his children, and a man content with the thirty-six years the seers allotted him says that span is youth's best flower, and even old Nestor died. Marcellus of Side, the physician who wrote forty books of medicine in verse, is honored by Hadrian and Antoninus. Orpheus, Nestor, Homer, and the piper Telephanes each had his gift. Timocritus died in war, which spares cowards; an eagle on Aristomenes' tomb marks the best of youths, and a Persian slave asks not to be burned. Three epigrams tell Praxo's death in childbirth by question and answer, and Lamisca, Polyxena, and Polyxo die bearing children.

156. ΙΣΙΔΩΡΟΥ ΑΙΓΕΑΤΟΥ

156 of-Isidorus of-Aegae

Ἰξῷ καὶ καλάμοισιν ἀπ᾽ ἠέρος αὐτὸν ἔφερβεν
With-birdlime and with-reeds from air himself fed
Εὔμηλος, λιτῶς, ἀλλ᾽ ἐν ἐλευθερίῃ.
Eumelus frugally but in freedom
οὔποτε δ᾽ ὀθνείην ἔκυσεν χέρα γαστρὸς ἕκητι·
never and stranger's he-kissed hand of-belly for-sake
τοῦτο τρυφὴν κείνῳ, τοῦτ᾽ ἔφερ᾽ εὐφροσύνην.
this luxury to-him this brought joy
τρὶς δὲ τριηκοστὸν ζήσας ἔτος ἐνθάδ᾽ ἰαύει,
thrice and thirtieth having-lived year here sleeps
παισὶ λιπὼν ἰξὸν καὶ πτερὰ καὶ καλάμους.
to-children having-left birdlime and wings and reeds

157. ΑΔΗΛΟΝ

157 uncertain

Τρεῖς ἐτέων δεκάδας, τριάδας δύο, μέτρον ἔθηκαν
Three of-years decades triads two measure set
ἡμετέρης βιοτῆς μάντιες αἰθέριοι.
of-our of-life seers heavenly
ἀρκοῦμαι τούτοισιν· ὁ γὰρ χρόνος ἄνθος ἄριστον
I-am-content with-these the for time flower best
ἡλικίης· ἔθανεν χὠ τριγέρων Πύλιος.
of-youth died and-the thrice-old Pylian

Εἰς Μάρκελλον τὸν Σιδίτην ἰατρόν
On Marcellus the Sidetan physician

158. ΑΔΗΛΟΝ

158 uncertain

Μαρκέλλου τόδε σῆμα περικλυτοῦ ἰητῆρος,
Of-Marcellus this tomb of-famous of-healer
φωτὸς κυδίστοιο τετιμένου ἀθανάτοισιν,
of-man most-glorious honored by-immortals
οὗ βίβλους ἀνέθηκεν ἐϋκτιμένῃ ἐνὶ Ῥώμῃ
whose books dedicated well-built in Rome
Ἀδριανὸς προτέρων προφερέστερος ἡγεμονιήων,
Hadrian than-former more-excellent than-rulers
καὶ πάϊς Ἀδριανοῖο μέγ' ἔξοχος Ἀντωνῖνος,
and son of-Hadrian greatly eminent Antoninus
ὄφρα καὶ ἐσσομένοισι μετ' ἀνδράσι κῦδος ἄροιτο
that also coming among men glory he-might-win
εἵνεκεν εὐεπίης, τὴν οἱ πόρε Φοῖβος Ἀπόλλων,
because-of eloquence which to-him gave Phoebus Apollo

ἡρῴῳ μέλψαντι μέτρῳ θεραπήϊα νούσων
in-heroic having-sung in-meter remedies of-diseases
βίβλοις ἐν πινυταῖς Χειρωνίσι τεσσαράκοντα.
books in wise Chironian forty

159. ΝΙΚΑΡΧΟΥ

159 of-Nicarchus

Ὀρφεὺς μὲν κιθάρᾳ πλεῖστον γέρας εἵλετο θνητῶν,
Orpheus indeed by-lyre greatest prize won of-mortals
Νέστωρ δὲ γλώσσης ἡδυλόγου σοφίῃ,
Nestor and of-tongue of-sweet-speaking by-wisdom
τεκτοσύνῃ δ' ἐπέων πολυΐστωρ θεῖος Ὅμηρος,
by-craftsmanship and of-verses much-knowing divine Homer
Τηλεφάνης δ' αὐλοῖς, οὗ τάφος ἐστὶν ὅδε.
Telephanes and by-pipes whose tomb is this

160. ΑΝΑΚΡΕΟΝΤΟΣ

160 of-Anacreon

Καρτερὸς ἐν πολέμοις Τιμόκριτος, οὗ τόδε σᾶμα·
Mighty in wars Timocritus whose this tomb
Ἄρης δ' οὐκ ἀγαθῶν φείδεται, ἀλλὰ κακῶν.
Ares but not good spares but bad

161. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

161 of-Antipater of-Sidon

— Ὄρνι, Διὸς Κρονίδαο διάκτορε, τεῦ χάριν ἔστας
Bird of-Zeus of-son-of-Cronus messenger of-what for-sake you-stand
γοργὸς ὑπὲρ μεγάλου τύμβον Ἀριστομένους;
fierce over of-great tomb of-Aristomenes
— Ἀγγέλλω μερόπεσσιν ὅθ' οὕνεκεν ὅσσον ἄριστος
I-announce to-mortals that because as-much-as best
οἰωνῶν γενόμαν, τόσσον ὅδ' ἠϊθέων.
of-birds I-became so-much this-one of-youths
δειλαί τοι δειλοῖσιν ἐφεδρήσσουσι πέλειαι·
cowardly you-know for-cowards keep-watch doves
ἄμμες δ' ἀτρέστοις ἀνδράσι τερπόμεθα.
we but in-fearless in-men delight

162. ΔΙΟΣΚΟΡΙΔΟΥ

162 of-Dioscorides

Εὐφράτην μὴ καῖε, Φιλώνυμε, μηδὲ μιήνῃς
Euphrates not burn Philonymus nor defile
πῦρ ἐπ' ἐμοί· Πέρσης εἰμὶ καὶ ἐκ πατέρων,
fire on me Persian I-am and from fathers
Πέρσης αὐθιγενής, ναὶ δέσποτα· πῦρ δὲ μιῆναι
Persian native-born yes master fire and to-defile
ἡμῖν τοῦ χαλεποῦ πικρότερον θανάτου.
for-us than-the cruel more-bitter than-death
ἀλλὰ περιστείλας με δίδου χθονί· μηδ' ἐπὶ νεκρῷ
but having-wrapped me give to-earth nor on corpse
λουτρὰ χέῃς· σέβομαι, δέσποτα, καὶ ποταμούς,
washings pour I-revere master also rivers

163. ΛΕΩΝΙΔΟΥ

163 of-Leonidas

— Τίς τίνος εὖσα, γύναι, Παρίην ὑπὸ κίονα κεῖσαι;
Who of-whom being woman Parian under pillar you-lie
— Πρηξὼ Καλλιτέλευς. — Καὶ ποδαπή; — Σαμίη.
Praxo of-Calliteles And of-what-land Samian
— Τίς δέ σε καὶ κτερέϊξε; — Θεόκριτος,
Who and you also buried Theocritus
ὧ̣ με γονῆες
to-whom me parents
ἐξέδοσαν. — Θνήσκεις δ' ἐκ τίνος; — Ἐκ τοκετοῦ.
gave-in-marriage You-die and from what From childbirth
— Εὖσα πόσων ἐτέων; — Δύο κεἴκοσιν. —
Being of-how-many years Two and-twenty
Ἦ ῥά γ' ἄτεκνος;
Truly then indeed childless
— Οὔκ, ἀλλὰ τριετῆ Καλλιτέλην ἔλιπον.
No but three-year-old Calliteles I-left
— Ζώοι σοὶ κεῖνός γε, καὶ ἐς βαθὺ γῆρας ἵκοιτο.
May-live for-you that-one indeed and to deep old-age may-come
— Καὶ σοί, ξεῖνε, πόροι πάντα Τύχη τὰ καλά.
And to-you stranger may-give all Fortune the good-things

164. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

164 of-Antipater of-Sidon

— Φράζε, γύναι, γενεήν, ὄνομα, χθόνα. —
Tell woman race name land
Καλλιτέλης μὲν
Calliteles indeed
ὁ σπείρας, Πρηξὼ δ' οὔνομα, γῆ δὲ Σάμος.
the having-sown Praxo and name land and Samos
— Σῆμα δὲ τίς τόδ' ἔχωσε; — Θεόκριτος,
Tomb and who this heaped Theocritus
ὁ πρὶν ἄθικτα
the before untouched
ἡμετέρας λύσας ἄμματα παρθενίης.
of-our having-loosed bonds of-maidenhood
— Πῶς δ' ἔθανες; — Λοχίοισιν ἐν ἄλγεσιν· —
How and you-died In-childbirth in pains
Εἰπὲ δὲ ποίην
Tell and what
ἦλθες ἐς ἡλικίην. — Δισσάκις ἑνδεκέτις.
you-came to age Twice eleven-years-old
— Ἦ καὶ ἄπαις; — Οὐ, ξεῖνε· λέλοιπα γὰρ ἐν νεότητι
Truly also childless No stranger I-have-left for in youth
Καλλιτέλη, τριετῆ παῖδ' ἔτι νηπίαχον.
Calliteles three-year-old child still infant
— Ἔλθοι ἐς ὀλβίστην πολιὴν τρίχα. —
May-he-come to most-blessed gray hair
Καὶ σόν, ὁδῖτα,
And your wayfarer
οὔριον ἰθύνοι πάντα Τύχη βίοτον.
favorable may-steer all Fortune life

165. ΤΟΥ ΑΥΤΟΥ, *οἱ* δὲ ΑΡΧΙΟΥ

165 of-the same the(-others) and of-Archias

— Εἰπὲ γύναι τίς ἔφυς. — Πρηξώ. —
Tell woman who you-were Praxo
Τίνος ἔπλεο πατρός;
Of-whom you-were of-father
— Καλλιτέλευς. — Πάτρας δ' ἐκ τίνος ἐσσί; —
of-Calliteles Of-fatherland and from what you-are
Σάμου.
of-Samos
— Μνᾶμα δέ σου τίς ἔτευξε; — Θεόκριτος,
Memorial and of-you who made Theocritus
ὅς με σύνευνον
who me bedfellow
ἤγετο. — Πῶς δ' ἐδάμης; — Ἄλγεσιν ἐν λοχίοις.
led How and were-you-subdued In-pains in of-childbirth
— Εἰν ἔτεσιν τίσιν εὖσα; — Δὶς ἕνδεκα. —
In years what being Twice eleven
Παῖδα δὲ λείπεις;
Child and you-leave
— Νηπίαχον τρισσῶν Καλλιτέλην ἐτέων.
Infant of-three Calliteles of-years
— Ζωῆς τέρμαθ' ἵκοιτο μετ' ἀνδράσι. —
Of-life ends may-he-reach among men
Καὶ σέο δοίη
And of-you may-give
παντὶ Τύχη βιότῳ τερπνόν, ὁδῖτα, τέλος.
in-all Fortune in-life pleasant wayfarer end

166. ΔΙΟΣΚΟΡΙΔΟΥ, οἱ δὲ ΝΙΚΑΡΧΟΥ

166 of-Dioscorides the(-others) and of-Nicarchus

Τὴν γοεραῖς πνεύσασαν ἐν ὠδίνεσσι Λαμίσκην
The mournful having-breathed-out in birth-pangs Lamisca
ὕστατα, Νικαρέτης παῖδα καὶ Εὐπόλιδος,
last of-Nicarete daughter and of-Eupolis
σὺν βρέφεσιν διδύμοις, Σαμίην γένος, αἱ παρὰ Νείλῳ
with babes twin Samian by-race the beside Nile
κρύπτουσιν Λιβύης ἠόνες εἰκοσέτιν.
hide of-Libya shores twenty-years-old
ἀλλά, κόραι, τῇ παιδὶ λεχώϊα δῶρα φέρουσαι,
but maidens to-the girl childbed gifts bringing
θερμὰ κατὰ ψυχροῦ δάκρυα χεῖτε τάφου.
warm on cold tears pour tomb

167. ΤΟΥ ΑΥΤΟΥ, οἱ δὲ ΕΚΑΤΑΙΟΥ ΘΑΣΙΟΥ

167 of-the same the(-others) and of-Hecataeus of-Thasos

Ἀρχέλεώ με δάμαρτα Πολυξείνην, Θεοδέκτου
Of-Archelaus me wife Polyxena of-Theodectes
παῖδα καὶ αἰνοπαθοῦς ἔννεπε Δημαρέτης,
daughter and of-sorely-suffering say of-Demarete
ὅσσον ἐπ' ὠδῖσιν καὶ μητέρα· παῖδα δὲ δαίμων
as-much-as in birth-pangs also mother child but god
ἔφθασεν οὐδ' αὐτῶν εἴκοσιν ἠελίων.
outran not-even of-them twenty of-suns
ὀκτωκαιδεκέτις δ' αὐτὴ θάνον, ἄρτι τεκοῦσα,
eighteen-years-old and myself I-died just having-borne
ἄρτι δὲ καὶ νύμφη, πάντ' ὀλιγοχρόνιος.
just and also bride all short-lived

168. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΟΥ

168 of-Antipater of-Thessalonica

"Εὐχέσθω τις ἔπειτα γυνὴ τόκον," εἶπε Πολυξώ,
Let-pray any thereafter woman offspring said Polyxo
γαστέρ' ὑπὸ τρισσῶν ῥηγνυμένη τεκέων·
belly by three being-torn children
μαίης δ' ἐν παλάμῃσι χύθη νέκυς· οἱ δ' ἐπὶ γαῖαν
of-midwife and in hands fell-dead corpse they and on earth
ὤλισθον κοίλων ἄρρενες ἐκ λαγόνων,
slipped of-hollow males from loins
μητέρος ἐκ νεκρῆς ζωὸς γόνος· εἷς ἄρα δαίμων
of-mother from dead living offspring one then god
τῆς μὲν ἀπὸ ζωὴν εἵλετο, τοῖς δ' ἔπορεν.
of-her indeed from life took to-them and gave

EPIGRAMS 169–183

A heifer statue at Chrysopolis, across from Byzantium, is not Io but the Athenian consort of Chares. A three-year-old drowns in a well, a fowler's birdlime is idle now that he is dead, and a scarecrow-slinger dies of a viper's bite while watching the sky. Cows come home without Therimachus, struck by lightning, and a plowman's share turns up a corpse. Lydian and Persian slaves thank their masters for a free man's tomb. Clearista dies on her wedding night and the torches of her marriage light her road below, and Crocale's hopes of marriage are buried.

Εἰς τὴν δάμαλιν τὴν ἱσταμένην πέραν Βυζαντίου ἐν
On the heifer the standing opposite of-Byzantium in
Χρυσοπόλει
Chrysopolis

169. ΑΔΕΣΠΟΤΟΝ

169 anonymous

Ἰναχίης οὐκ εἰμὶ βοὸς τύπος, οὐδ' ἀπ' ἐμεῖο
Of-Inachian not I-am of-cow image nor from me
κλήζεται ἀντωπὸν Βοσπόριον πέλαγος.
is-named facing Bosporan sea
κείνην γὰρ τὸ πάροιθε βαρὺς χόλος ἤλασεν Ἥρης
her for the before heavy anger drove of-Hera
ἐς Φάρον· ἥδε δ' ἐγὼ Κεκροπίς εἰμι νέκυς.
to Pharos this and I Cecropian I-am corpse
εὐνέτις ἦν δὲ Χάρητος· ἔπλων δ' ὅτ' ἔπλωεν ἐκεῖνος
bedfellow I-was and of-Chares I-sailed and when sailed that-one
τῆδε, Φιλιππείων ἀντίπαλος σκαφέων.
here of-Philip's opponent of-ships
Βοϊδιον δὲ καλεῦμαι ἐγὼ τότε· νῦν δὲ Χάρητος
Boidion and am-called I then now and of-Chares
εὐνέτις ἠπείροις τέρπομαι ἀμφοτέραις.
bedfellow in-continents I-delight in-both

170. ΠΟΣΕΙΔΙΠΠΟΥ, ἢ ΚΑΛΛΙΜΑΧΟΥ

170 of-Posidippus or of-Callimachus

Τὸν τριετῆ παίζοντα περὶ φρέαρ Ἀρχιάνακτα
The three-year-old playing about well Archianax
εἴδωλον μορφᾶς κωφὸν ἐπεσπάσατο·
image of-form mute drew-to-itself

ἐκ δ' ὕδατος τὸν παῖδα διάβροχον ἥρπασε μάτηρ
from and water the child drenched snatched mother
σκεπτομένα ζωᾶς εἴ τινα μοῖραν ἔχει·
looking-to of-life if any portion it-has
Νύμφας δ' οὐκ ἐμίηνεν ὁ νήπιος, ἀλλ' ἐπὶ γούνων
Nymphs but not defiled the infant but on knees
ματρὸς κοιμαθεὶς τὸν βαθὺν ὕπνον ἔχει.
of-mother having-fallen-asleep the deep sleep holds

171. ΜΝΑΣΑΛΚΟΥ ΣΙΚΥΩΝΙΟΥ

171 of-Mnasalces of-Sicyon

Ἀμπαύσει καὶ τῇδε θοὸν πτερὸν ἱερὸς ὄρνις,
Will-rest also here swift wing holy bird
τᾶσδ' ὑπὲρ ἁδείας ἑζόμενος πλατάνου·
this over sweet sitting plane-tree
ὤλετο γὰρ Ποίμανδρος ὁ Μάλιος, οὐδ' ἔτι νεῖται
perished for Poemandrus the Malian nor still goes
ἰξὸν ἐπ' ἀγρευταῖς χευάμενος καλάμοις.
birdlime on hunting having-poured reeds

172. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

172 of-Antipater of-Sidon

Ὁ πρὶν ἐγὼ καὶ ψῆρα καὶ ἁρπάκτειραν ἐρύκων
The before I both starling and robber keeping-off
σπέρματος, ὑψιπετῆ Βιστονίαν γέρανον,
of-seed high-flying Bistonian crane
ῥινοῦ χερμαστῆρος ἐΰστροφα κῶλα τιταίνων,
of-hide of-sling well-twisted limbs stretching

Ἀλκιμένης, πτανῶν εἶργον ἄπωθε νέφος·
Alcimenes of-winged kept-off away cloud
καὶ μέ τις οὐτήτειρα παρὰ σφυρὰ διψὰς ἔχιδνα
and me some wounding by ankles thirsty viper
σαρκὶ τὸν ἐκ γενύων πικρὸν ἐνεῖσα χόλον
into-flesh the from jaws bitter having-sent bile
ἠελίου χήρωσεν· ἴδ' ὡς τὰ κατ' αἰθέρα λεύσσων
of-sun bereaved see how the up in-air looking
τοὐμ ποσὶν οὐκ ἐδάην πῆμα κυλινδόμενον.
the-at feet not I-knew bane rolling

173. ΔΙΟΤΙΜΟΥ, *οἱ* δὲ ΛΕΩΝΙΔΟΥ

173 of-Diotimus the(-others) and of-Leonidas

Αὐτόμαται δείλῃ ποτὶ ταὔλιον αἱ βόες ἦλθον
Of-their-own-accord in-evening to the-fold the cows came
ἐξ ὄρεος, πολλῇ νιφόμεναι χιόνι·
from mountain with-much being-snowed-on with-snow
αἰαῖ, Θηρίμαχος δὲ παρὰ δρυῒ τὸν μακρὸν εὕδει
alas Therimachus but beside oak the long sleeps
ὕπνον· ἐκοιμήθη δ' ἐκ πυρὸς οὐρανίου.
sleep he-was-laid-to-sleep and from fire heavenly

174. ΕΡΥΚΙΟΥ

174 of-Erycius

Οὐκέτι συρίγγων νόμιον μέλος ἀγχόθι ταύτας
No-longer of-pipes pastoral song near this
ἁρμόζῃ βλωθρᾶς, Θηρίμαχε, πλατάνου·
you-fit tall Therimachus plane-tree

οὐδέ σευ ἐκ καλάμων κερααὶ βόες ἁδὺ μέλισμα
nor of-you from reeds horned cows sweet tune
δέξονται, σκιερᾷ πὰρ δρυῒ κεκλιμένου.
will-receive shady by oak reclining
ὤλεσε γὰρ πρηστήρ σε κεραύνιος· αἱ δ' ἐπὶ μάνδραν
destroyed for blast you of-thunder they and to fold
ὀψὲ βόες νιφετῷ σπερχόμεναι κατέβαν.
late cows by-snow hastened came-down

175. ΑΝΤΙΦΙΛΟΥ

175 of-Antiphilus

Οὕτω πᾶσ' ἀπόλωλε, γεωπόνε, βῶλος ἀρότροις,
So all has-perished farmer clod by-plows
ἤδη καὶ τύμβους νωτοβατοῦσι βόες,
already also tombs back-tread oxen
ἡ δ' ὕνις ἐν νεκύεσσι; τί τοι πλέον;
the and plowshare among corpses what to-you more
ἢ πόσος οὗτος
or how-much this
πυρός, ὃν ἐκ τέφρης, κοὐ χθονὸς ἁρπάσετε;
of-wheat which from ashes and-not earth you-will-snatch
οὐκ αἰεὶ ζήσεσθε, καὶ ὑμέας ἄλλος ἀρώσει,
not always you-will-live also you other will-plow
τοίης ἀρξαμένους πᾶσι κακοσπορίης.
such having-begun for-all of-evil-sowing

176. ΤΟΥ ΑΥΤΟΥ

176 of-the same

Οὐχ ὅτι με φθίμενον κῆδος λίπεν, ἐνθάδε κεῖμαι
Not that me having-perished mourning left here I-lie
γυμνὸς ὑπὲρ γαίης πυροφόροιο νέκυς·
naked above earth of-wheat-bearing corpse
ταρχύθην γὰρ ἐγὼ τὸ πρίν ποτε, νῦν δ' ἀροτῆρος
I-was-buried for I the before once now and of-plowman
χερσὶ σιδηρείῃ μ' ἐξεκύλισεν ὖνις.
by-hands iron me rolled-out plowshare
ἦ ῥα κακῶν θάνατόν τις ἐρεῖ λύσιν, ὁππότ' ἐμεῖο,
truly then of-ills death someone will-say release when of-me
ξεῖνε, πέλει παθέων ὕστατον οὐδὲ τάφος;
stranger is of-sufferings last not-even tomb

177. ΣΙΜΩΝΙΔΟΥ

177 of-Simonides

Σᾶμα τόδε Σπίνθηρι πατὴρ ἐπέθηκε θανόντι.
Tomb this for-Spinther father set having-died

178. ΔΙΟΣΚΟΡΙΔΟΥ ΝΙΚΟΠΟΛΙΤΟΥ

178 of-Dioscorides of-Nicopolis

Λυδὸς ἐγώ, ναὶ Λυδός, ἐλευθερίῳ δέ με τύμβῳ,
Lydian I yes Lydian in-free but me in-tomb
δέσποτα, Τιμάνθη τὸν σὸν ἔθευ τροφέα.
master Timanthes the your you-placed nurse

εὐαίων ἀσινῆ τείνοις βίον· ἢν δ' ὑπὸ γήρως
happy unharmed may-you-extend life if but by old-age
πρός με μόλῃς, σὸς ἐγώ, δέσποτα, κἠν Ἀΐδῃ.
to me you-come yours I master even-in Hades

179. ΑΔΗΛΟΝ

179 uncertain

Σοὶ καὶ νῦν ὑπὸ γῆν, ναί, δέσποτα, πιστὸς ὑπάρχω,
To-you even now under earth yes master faithful I-am
ὡς πάρος, εὐνοίης οὐκ ἐπιληθόμενος,
as before of-goodwill not forgetting
ὥς με τότ' ἐκ νούσου τρὶς ἐπ' ἀσφαλὲς ἤγαγες ἴχνος,
as me then from sickness thrice to safe you-led step
καὶ νῦν ἀρκούσῃ τῇδ' ὑπέθου καλύβῃ,
and now sufficient this you-placed-under hut
Μάνην ἀγγείλας, Πέρσην γένος. εὖ δέ με ῥέξας
Manes having-proclaimed Persian by-race well and me having-done
ἕξεις ἐν χρείῃ δμῶας ἑτοιμοτέρους.
you-will-have in need servants readier

180. ΑΠΟΛΛΩΝΙΔΟΥ

180 of-Apollonides

Ἠλλάχθη θανάτοιο τεὸς μόρος, ἀντὶ δὲ σεῖο,
Was-exchanged for-death your fate instead and of-you
δέσποτα, δοῦλος ἐγὼ στυγνὸν ἔπλησα τάφον·
master slave I hateful filled tomb
ἡνίκα σεῦ δακρυτὰ κατὰ χθονὸς ἠρία τεῦχον,
when your tearful under earth tomb I-made

ὡς ἂν ἀποφθιμένου κεῖθι δέμας κτερίσω·
that — of-dying there body I-might-bury
ἀμφὶς ἔμ' ὤλισθεν γυρὴ κόνις. οὐ βαρὺς ἡμῖν
around me slipped round dust not heavy to-us
ἔστ' Ἀΐδης· ζήσω τὸν σὸν ὑπ' ἠέλιον.
is Hades I-will-live the your under sun

181. ΑΝΔΡΟΝΙΚΟΥ

181 of-Andronicus

Οἰκτρὰ δὴ δνοφερὸν δόμον ἤλυθες εἰς Ἀχέροντος,
Piteously indeed dark house you-came to of-Acheron
Δαμοκράτεια φίλα, ματρὶ λιποῦσα γόους.
Damocrateia dear to-mother having-left laments
ἁ δέ, σέθεν φθιμένας, πολιοὺς νεοθῆγι σιδάρῳ
she and of-you having-perished gray with-newly-whetted with-iron
κείρατο γηραλέας ἐκ κεφαλᾶς πλοκάμους.
sheared aged from head locks

182. ΜΕΛΕΑΓΡΟΥ

182 of-Meleager

Οὐ γάμον, ἀλλ' Ἀΐδαν ἐπινυμφίδιον Κλεαρίστα
Not marriage but Hades bridegroom Clearista
δέξατο, παρθενίας ἄμματα λυομένα.
received of-maidenhood bonds loosing
ἄρτι γὰρ ἑσπέριοι νύμφας ἐπὶ δικλίσιν ἄχευν
just for in-evening of-bride at doors sounded
λωτοί, καὶ θαλάμων ἐπλαταγεῦντο θύραι·
pipes and of-chambers were-beaten doors

ἠῷοι δ' ὀλολυγμὸν ἀνέκραγον, ἐκ δ' Ὑμέναιος
at-dawn and wailing cried-out out and Hymenaeus
σιγαθεὶς γοερὸν φθέγμα μεθαρμόσατο·
having-been-silenced mournful sound changed
αἱ δ' αὐταὶ καὶ φέγγος ἐδᾳδούχουν παρὰ παστῷ
the and same also light torched beside bridal-bed
πεῦκαι, καὶ φθιμένᾳ νέρθεν ἔφαινον ὁδόν.
pine-torches also for-dead below showed road

183. ΠΑΡΜΕΝΙΩΝΟΣ

183 of-Parmenion

…
(lacuna)
Ἅδης τὴν Κροκάλης ἔφθασε παρθενίην·
Hades the of-Crocale outran maidenhood
εἰς δὲ γόους Ὑμέναιος ἐπαύσατο· τὰς δὲ γαμούντων
into and laments Hymenaeus ceased the and of-marrying
ἐλπίδας οὐ θάλαμος κοίμισεν, ἀλλὰ τάφος.
hopes not chamber laid-to-sleep but tomb

Brides and girls die before marriage. Helen's tomb holds her mother's tears for her and for her brother, and a Libyan girl reared by Pompeia as a daughter lies near Rome. The wedding pipe of Nicippis turns to a dirge, old Nico crowns the maiden Melite's tomb, and Cleanassa meets her pyre on the day her bridal chamber was to be lit. Then the tombs of pets: Alcis' locust has flown to Persephone's meadows, Myro buries her locust and cicada together, and a jay that mocked shepherds lies voiceless. Mnasalces' locust will sing no more, Meleager begs his locust to lull his longing to sleep and a cicada to sing him free of Love, Democritus buries his locust near Oropus, Philaenis honors hers, and a pet warbler goes down the silent roads of night.

184. ΤΟΥ ΑΥΤΟΥ

184 of-the same

Παρθενικῆς τάφος εἶμ' Ἑλένης, πένθει δ' ἐπ' ἀδελφοῦ
Of-maiden tomb I-am of-Helen in-grief and for brother
προφθιμένου διπλᾶ μητρὸς ἔχω δάκρυα·
having-died-before double of-mother I-have tears
μνηστῆρσιν δ' ἔλιπον κοίν' ἄλγεα· τὴν γὰρ ἔτ' οὔπω
to-suitors and I-left common pains her for yet not-yet
οὐδενὸς ἡ πάντων ἐλπὶς ἔκλαυσεν ἴσως.
of-anyone the of-all hope wept equally

185. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ

185 of-Antipater of-Thessalonica

Αὐσονίη με Λίβυσσαν ἔχει κόνις, ἄγχι δὲ Ῥώμης
Ausonian me Libyan holds dust near and Rome
κεῖμαι παρθενικὴ τῇδε παρὰ ψαμάθῳ·
I-lie maiden here beside sand

ἡ δέ με θρεψαμένη Πομπηΐη ἀντὶ θυγατρός,
she and me having-reared Pompeia instead-of daughter
κλαυσαμένη τύμβῳ θῆκεν ἐλευθερίῳ,
having-wept in-tomb placed in-free
πῦρ ἕτερον σπεύδουσα· τὸ δ' ἔφθασεν,
fire other hastening this but outran
οὐδὲ κατ' εὐχὴν
nor according-to prayer
ἡμετέραν ἧψεν λαμπάδα Περσεφόνη.
our lit torch Persephone

186. ΦΙΛΙΠΠΟΥ

186 of-Philip

Ἄρτι μὲν ἐν θαλάμοις Νικιππίδος ἡδὺς ἐπήχει
Just indeed in chambers of-Nicippis sweet sounded
λωτός, καὶ γαμικοῖς †ὕμνος ἔχαιρε κρότοις·
pipe and in-marriage hymn rejoiced in-clappings
θρῆνος δ' εἰς ὑμέναιον ἐκώμασεν· ἡ δὲ τάλαινα,
dirge but into wedding-song burst the and wretched
οὔπω πάντα γυνή, καὶ νέκυς ἐβλέπετο.
not-yet wholly woman and corpse was-seen
δακρυόεις Ἀΐδη, τί πόσιν νύμφης διέλυσας,
tearful Hades why husband of-bride you-parted
αὐτὸς ἐφ' ἁρπαγίμοις τερπόμενος λέχεσιν;
yourself in rape-won delighting in-beds

187. ΤΟΥ ΑΥΤΟΥ

187 of-the same

Ἡ γρῆϋς Νικὼ Μελίτης τάφον ἐστεφάνωσε
The old-woman Nico of-Melite tomb crowned
παρθενικῆς. Ἀΐδη, τοῦθ' ὁσίως κέκρικας;
of-maiden Hades this righteously you-have-judged

188. ΑΝΤΩΝΙΟΥ ΘΑΛΛΟΥ

188 of-Antonius of-Thallus

Δύσδαιμον Κλεάνασσα, σὺ μὲν γάμῳ ἔπλεο, κούρη,
Ill-fated Cleanassa you indeed for-marriage you-were girl
ὥριος, ἀκμαίης οἷά τ' ἐφ' ἡλικίης·
ripe of-blooming as — at age
ἀλλὰ τεοῖς θαλάμοισι γαμοστόλος οὐχ Ὑμέναιος,
but in-your in-chambers bride-escorting not Hymenaeus
οὐδ' Ἥρης ζυγίης λαμπάδες ἠντίασαν,
nor of-Hera of-wedlock torches met
πένθιμος ἀλλ' Ἀΐδης ἐπεκώμασεν, ἀμφὶ δ' Ἐρινὺς
mournful but Hades burst-in-reveling around and Fury
φοίνιος ἐκ στομάτων μόρσιμον ἧκεν ὄπα·
bloody from mouths fated sent voice
ἤματι δ' ᾧ νυμφεῖος ἀνήπτετο λαμπάδι παστάς,
on-day and on-which bridal was-lit with-torch bridal-chamber
τούτῳ πυρκαϊῆς, οὐ θαλάμων ἔτυχες.
on-this of-pyre not of-chambers you-met

189. ΑΡΙΣΤΟΔΙΚΟΥ ΡΟΔΙΟΥ

189 of-Aristodicus of-Rhodes

Οὐκέτι δή σε λίγεια κατ᾽ ἀφνεὸν Ἀλκίδος οἶκον
No-longer indeed you shrill in rich of-Alcis house
ἀκρὶ μελιζομέναν ὄψεται ἀέλιος·
locust singing will-see sun
ἤδη γὰρ λειμῶνας ἐπὶ Κλυμένου πεπότησαι
already for meadows to of-Clymenus you-have-flown
καὶ δροσερὰ χρυσέας ἄνθεα Περσεφόνας.
and dewy of-golden flowers of-Persephone

190. ΑΝΥΤΗΣ, οἱ δὲ ΛΕΩΝΙΔΟΥ

190 of-Anyte the(-others) and of-Leonidas

Ἀκρίδι τᾷ κατ᾽ ἄρουραν ἀηδόνι, καὶ δρυοκοίτᾳ
For-locust the in field nightingale and oak-dwelling
τέττιγι ξυνὸν τύμβον ἔτευξε Μυρώ,
cicada common tomb made Myro
παρθένιον στάξασα κόρα δάκρυ· δισσὰ γὰρ αὐτᾶς
maiden's having-dropped girl tear double for her
παίγνι᾽ ὁ δυσπειθὴς ᾤχετ᾽ ἔχων Ἀΐδας.
playthings the unpersuadable went having Hades

191. ΑΡΧΙΟΥ

191 of-Archias

Ἃ πάρος ἀντίφθογγον ἀποκλάγξασα νομεῦσι
The before echoing having-screamed to-shepherds
πολλάκι καὶ δρυτόμοις κίσσα καὶ ἰχθυβόλοις,
often also to-woodcutters jay and to-fishermen

πολλάκι δὲ κρέξασα πολύθροον, οἷά τις ἀχώ,
often and having-struck many-noised as some echo
κέρτομον ἀντῳδοῖς χείλεσιν ἁρμονίαν,
mocking with-answering with-lips harmony
νῦν εἰς γᾶν ἄγλωσσος ἀναύδητός τε πεσοῦσα
now to earth tongueless voiceless and having-fallen
κεῖμαι, μιμητὰν ζᾶλον ἀνηναμένα.
I-lie mimicking zeal having-renounced

192. ΜΝΑΣΑΛΚΟΥ

192 of-Mnasalces

Οὐκέτι δὴ πτερύγεσσι λιγυφθόγγοισιν ἀείσεις,
No-longer indeed with-wings with-shrill-sounding you-will-sing
ἀκρί, κατ᾽ εὐκάρπους αὔλακας ἑζομένα,
locust in fruitful furrows sitting
οὐδέ με κεκλιμένον σκιερὰν ὑπὸ φυλλάδα τέρψεις,
nor me reclining shady under foliage you-will-delight
ξουθᾶν ἐκ πτερύγων ἁδὺ κρέκουσα μέλος.
yellow from wings sweet striking song

193. ΣΙΜΙΟΥ

193 of-Simias

Τάνδε κατ᾽ εὔδενδρον στείβων δρίος εἴρυσα χειρὶ
This in well-wooded treading thicket I-drew with-hand
πτώσσουσαν βρομίης οἰνάδος ἐν πετάλοις,
cowering of-noisy of-vine in leaves

ὄφρα μοι εὐερκεῖ καναχὰν δόμῳ ἔνδοθι θείη,
that for-me in-well-fenced din house within she-might-make
τερπνὰ δι᾽ ἀγλώσσου φθεγγομένα στόματος.
delightful through tongueless sounding mouth

194. ΜΝΑΣΑΛΚΟΥ

194 of-Mnasalces

Ἀκρίδα Δημοκρίτου μελεσίπτερον ἅδε θανοῦσαν
Locust of-Democritus song-winged this having-died
ἄργιλος δολιχὰν ἀμφὶ κέλευθον ἔχει,
clay long around road holds
ἅς καί, ὅτ᾽ ἰθύσειε πανέσπερον ὕμνον ἀείδειν,
of-which even when she-aimed all-evening hymn to-sing
πᾶν μέλαθρον μολπᾶς ἴαχ᾽ ὑπ᾽ εὐκελάδου.
all roof of-song cried under sweet-sounding

195. ΜΕΛΕΑΓΡΟΥ

195 of-Meleager

Ἀκρίς, ἐμῶν ἀπάτημα πόθων, παραμύθιον ὕπνου,
Locust of-my deceiver of-longings consolation of-sleep
ἀκρίς, ἀρουραίη Μοῦσα, λιγυπτέρυγε,
locust of-field Muse shrill-winged
αὐτοφυὲς μίμημα λύρας, κρέκε μοί τι ποθεινόν,
self-grown imitation of-lyre strike for-me something longed-for
ἐγκρούουσα φίλοις ποσσὶ λάλους πτέρυγας,
striking with-dear with-feet chattering wings
ὥς με πόνων ῥύσαιο παναγρύπνοιο μερίμνης,
that me from-toils you-may-rescue of-all-sleepless of-care

ἀκρί, μιτωσαμένη φθόγγον ἐρωτοπλάνον.
locust having-threaded sound love-straying
δῶρα δέ σοι γήτειον ἀειθαλὲς ὀρθρινὰ δώσω,
gifts and to-you leek evergreen at-dawn I-will-give
καὶ δροσερὰς στόματι σχιζομένας ψακάδας.
and dewy with-mouth being-split drops

196. ΤΟΥ ΑΥΤΟΥ

196 of-the same

Ἀχήεις τέττιξ, δροσεραῖς σταγόνεσσι μεθυσθείς,
Resounding cicada with-dewy with-drops drunk
ἀγρονόμαν μέλπεις μοῦσαν ἐρημολάλον·
rustic you-sing music lonely-chattering
ἄκρα δ' ἐφεζόμενος πετάλοις, πριονώδεσι κώλοις
tips and sitting-on leaves with-saw-like with-legs
αἰθίοπι κλάζεις χρωτὶ μέλισμα λύρας.
dusky you-shrill with-skin tune of-lyre
ἀλλά, φίλος, φθέγγου τι νέον δενδρώδεσι Νύμφαις
but dear sound something new for-woodland for-Nymphs
παίγνιον, ἀντῳδὸν Πανὶ κρέκων κέλαδον,
plaything answering to-Pan striking sound
ὄφρα φυγὼν τὸν Ἔρωτα, μεσημβρινὸν ὕπνον ἀγρεύσω
that having-fled — Love noonday sleep I-may-catch
ἐνθάδ' ὑπὸ σκιερᾷ κεκλιμένος πλατάνῳ.
here under shady reclining plane-tree

197. ΦΑΕΝΝΟΥ

197 of-Phaennus

Δαμοκρίτῳ μὲν ἐγώ, λιγυρὰν ὅκα μοῦσαν ἐνείην
For-Democritus indeed I shrill when music I-sent
ἀκρὶς ἀπὸ πτερύγων, τὸν βαθὺν ἆγον ὕπνον·
locust from wings the deep I-brought sleep
Δαμόκριτος δ' ἐπ' ἐμοὶ τὸν ἐοικότα τύμβον, ὁδῖτα,
Democritus and over me the fitting tomb wayfarer
ἐγγύθεν Ὠρωποῦ χεῦεν ἀποφθιμένᾳ.
near Oropus heaped having-died

198. ΛΕΩΝΙΔΟΥ ΤΑΡΕΝΤΙΝΟΥ

198 of-Leonidas of-Tarentum

Εἰ καὶ μικρὸς ἰδεῖν καὶ ἐπ' οὔδεος, ὦ παροδῖτα,
If even small to-see and on ground O passer-by
λᾶας ὁ τυμβίτης ἄμμιν ἐπικρέμαται,
stone the tomb-marking over-us hangs
αἰνοίης, ὤνθρωπε, Φιλαινίδα· τὴν γὰρ ἀοιδὸν
you-should-praise O-man Philaenis her for singer
ἀκρίδα, τὴν εὖσαν τὸ πρὶν ἀκανθοβάτιν,
locust the being the before thorn-treading
διπλοῦς ἐς λυκάβαντας ἐφίλατο τὴν καλαμῖτιν,
double for years loved the reed-dwelling
κἀμφίεφ' ὑμνιδίῳ χρησαμένην πατάγῳ·
and-fed with-hymning having-used with-clatter
καὶ μ' οὐδὲ φθιμένην ἀπανήνατο· τοῦτο δ' ἐφ' ἡμῖν
and me not-even having-died rejected this and over us
τὠλίγον ὤρθωσεν σᾶμα πολυστροφίης.
the-small set-up memorial of-much-turning-song

199. ΤΥΜΝΕΩ

199 of-Tymnes

Ὄρνεον ὦ Χάρισιν μεμελημένον, ὦ παρόμοιον
Bird O by-Graces cared-for O like
ἀλκυόσιν τὸν σὸν φθόγγον ἰσωσάμενον,
to-halcyons the your voice having-made-equal
ἡρπάσθης, φίλ' ἐλαιέ· σὰ δ' ἤθεα καὶ τὸ σὸν ἡδὺ
you-were-snatched dear warbler your and ways and the your sweet
πνεῦμα σιωπηραὶ νυκτὸς ἔχουσιν ὁδοί.
breath silent of-night hold roads

EPIGRAMS 200–214

The animal epitaphs go on: a grasshopper caught by a boy, a cicada, a cock killed by a weasel, and partridges, one eaten by a cat whom Agathias vows to kill on its grave; Damocharis calls the cat a hound of Actaeon. A hare dies of too much feeding in Phanion's lap, a war-horse is honored by Damis, an ant is buried by the threshing floor, and a swallow's nestlings are eaten by a snake that Hephaestus burns. A Maltese dog called Bull, a race-mare, and a cicada killed by ants follow, and Homer is said to have died of the fishermen's riddle. A dolphin is cast up on the beach.

200. ΝΙΚΙΟΥ

200 of-Nicias

Οὐκέτι δὴ τανύφυλλον ὑπὸ †κλάκα κλωνὸς ἑλιχθεὶς
No-longer indeed long-leaved under shoot of-branch coiled
τέρψομ' ἀπὸ ῥαδινῶν φθόγγον ἱεὶς πτερύγων·
I-will-delight from slender sound sending from-wings

χεῖρα γὰρ εἰς †ἀρετὰν παιδὸς πέσον, ὅς με λαθραίως
hand for into virtue of-boy I-fell who me secretly
μάρψεν, ἐπὶ χλωρῶν ἑζόμενον πετάλων.
seized on green sitting leaves

201. ΠΑΜΦΙΛΟΥ

201 of-Pamphilus

Οὐκέτι δὴ χλωροῖσιν ἐφεζόμενος πετάλοισιν
No-longer indeed on-green sitting on-leaves
ἁδεῖαν μέλπων ἐκπροχέεις ἰαχάν·
sweet singing you-pour-forth cry
ἀλλά σε γηρύοντα κατήναρεν, ἠχέτα τέττιξ,
but you singing killed resounding cicada
παιδὸς ἀπ᾽ ἠλιθίου χεὶρ ἀναπεπταμένα.
of-boy from foolish hand outspread

202. ΑΝΥΤΗΣ

202 of-Anyte

Οὐκέτι μ᾽ ὡς τὸ πάρος πυκιναῖς πτερύγεσσιν ἐρέσσων
No-longer me as the before with-thick with-wings plying
ὄρσεις ἐξ εὐνῆς ὄρθριος ἐγρόμενος·
you-will-rouse from bed at-dawn waking
ἦ γάρ σ᾽ ὑπνώοντα σίνις λαθρηδὸν ἐπελθὼν
truly for you sleeping robber secretly having-come-upon
ἔκτεινεν λαιμῷ ῥίμφα καθεὶς ὄνυχα.
killed into-throat swiftly having-sunk claw

203. ΣΙΜΙΟΥ

203 of-Simias

Οὐκέτ᾽ ἀν᾽ ὑλῆεν δρίος εὔσκιον, ἀγρότα πέρδιξ,
No-longer up woody thicket shady rustic partridge
ἠχήεσσαν ἵης γῆρυν ἀπὸ στομάτων,
resounding you-send voice from mouths
θηρεύων βαλιοὺς συνομήλικας ἐν νομῷ ὕλης·
hunting dappled age-mates in pasture of-wood
ᾤχεο γὰρ πυμάταν εἰς Ἀχέροντος ὁδόν.
you-went for last to of-Acheron road

204. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

204 of-Agathias Scholasticus

Οὐκέτι που, τλῆμον, σκοπέλων μετανάστρια πέρδιξ,
No-longer I-suppose wretched of-rocks wanderer partridge
πλεκτὸς λεπταλέαις οἶκος ἔχει σε λύγοις,
woven with-slender house holds you with-osiers
οὐδ᾽ ὑπὸ μαρμαρυγῇ θαλερώπιδος Ἠριγενείης
nor under gleam of-bright-eyed of-Dawn
ἄκρα παραιθύσσεις θαλπομένων πτερύγων.
tips you-flutter of-warmed of-wings
σὴν κεφαλὴν αἴλουρος ἀπέθρισε, τἄλλα δὲ πάντα
your head cat cropped the-rest and all
ἥρπασε, καὶ φθονερὴν οὐκ ἐκόρεσσε γένυν.
snatched and envious not glutted jaw
νῦν δέ σε μὴ κούφη κρύπτοι κόνις, ἀλλὰ βαρεῖα,
now and you not light may-cover dust but heavy
μὴ τὸ τεὸν κείνη λείψανον ἐξερύσῃ.
not the your that-one remnant may-drag-out

205. ΤΟΥ ΑΥΤΟΥ

205 of-the same

Οἰκογενὴς αἴλουρος ἐμὴν πέρδικα φαγοῦσα
House-bred cat my partridge having-eaten
ζώειν ἡμετέροις ἔλπεται ἐν μεγάροις;
to-live our expects in halls
οὔ σε, φίλη πέρδιξ, φθιμένην ἀγέραστον ἐάσω,
not you dear partridge having-perished unhonored I-will-leave
ἀλλ᾽ ἐπὶ σοὶ κτείνω τὴν σέθεν ἀντιβίην.
but over you I-kill the your foe
ψυχὴ γὰρ σέο μᾶλλον ὀρίνεται, εἰσόκε ῥέξω
soul for of-you more is-stirred until I-do
ὅσσ᾽ ἐπ᾽ Ἀχιλλῆος Πύρρος ἔτευξε τάφῳ.
as-much-as on of-Achilles Pyrrhus wrought tomb

206. ΔΑΜΟΧΑΡΙΔΟΣ ΓΡΑΜΜΑΤΙΚΟΥ ΚΑΙ ΜΑΘΗΤΟΥ ΑΥΤΟΥ

206 of-Damocharis the-Grammarian and of-pupil of-his

Ἀνδροβόρων ὁμότεχνε κυνῶν, αἴλουρε κακίστη,
Of-man-eating fellow-craftsman of-dogs cat most-wicked
τῶν Ἀκταιονίδων ἐσσὶ μία σκυλάκων.
of-the Actaeon's you-are one of-hounds
κτήτορος Ἀγαθίαο τεοῦ πέρδικα φαγοῦσα,
of-master of-Agathias of-your partridge having-eaten
λυπεῖς, ὡς αὐτὸν κτήτορα δασσαμένη.
you-grieve as himself master having-devoured

καὶ σὺ μὲν ἐν πέρδιξιν ἔχεις νόον· οἱ δὲ μύες νῦν
and you indeed on partridges you-have mind the and mice now
ὀρχοῦνται, τῆς σῆς δραξάμενοι σπατάλης.
dance of-the your having-grasped of-dainties

207. ΜΕΛΕΑΓΡΟΥ

207 of-Meleager

Τὸν ταχύπουν, ἔτι παῖδα συναρπασθέντα τεκούσης
The swift-footed still child snatched-away of-mother
ἄρτι μ᾽ ἀπὸ στέρνων, οὐατόεντα λαγὼν
just me from breast long-eared hare
ἐν κόλποις στέργουσα διέτρεφεν ἁ γλυκερόχρως
in bosom loving reared the sweet-skinned
Φανίον, εἰαρινοῖς ἄνθεσι βοσκόμενον.
Phanion with-spring with-flowers feeding
οὐδέ με μητρὸς ἔτ᾽ εἶχε πόθος· θνήσκω δ᾽ ὑπὸ θοίνης
nor me of-mother still held longing I-die and by feast
ἀπλήστου, πολλῇ δαιτὶ παχυνόμενος.
insatiable with-much with-feeding being-fattened
καί μου πρὸς κλισίαις κρύψεν νέκυν, ὡς ἐν ὀνείροις
and my by couch she-hid corpse that in dreams
αἰὲν ὁρᾶν κοίτης γειτονέοντα τάφον.
always to-see of-bed neighboring tomb

208. ΑΝΥΤΗΣ ΛΥΡΙΚΗΣ

208 of-Anyte the-lyric-poet

Μνᾶμα τόδε φθιμένου μενεδαΐου εἵσατο Δᾶμις
Memorial this of-perished of-steadfast set-up Damis
ἵππου, ἐπεὶ στέρνον τοῦδε δαφοινὸς Ἄρης
of-horse since breast of-this bloody Ares
τύψε· μέλαν δέ οἱ αἷμα ταλαυρίνου διὰ χρωτὸς
struck dark and its blood tough-shielded through skin
ζέσσ', ἐπὶ δ' ἀργαλέᾳ βῶλον ἔδευσε φονᾷ.
boiled on and grievous clod drenched in-slaughter

209. ΑΝΤΙΠΑΤΡΟΥ

209 of-Antipater

Αὐτοῦ σοὶ παρ' ἄλωνι, δυηπαθὲς ἐργάτα μύρμηξ,
There for-you by threshing-floor toil-suffering worker ant
ἠρίον ἐκ βώλου διψάδος ἐκτισάμαν,
tomb from clod thirsty I-founded
ὄφρα σε καὶ φθίμενον Δηοῦς σταχυητρόφος αὖλαξ
that you also having-perished of-Deo ear-nourishing furrow
θέλγῃ, ἀροτραίῃ κείμενον ἐν θαλάμῃ.
may-charm plowed lying in chamber

210. ΤΟΥ ΑΥΤΟΥ

210 of-the same

Ἄρτι νεηγενέων σε, χελιδονί, μητέρα τέκνων,
Just of-newborn you swallow mother of-children
ἄρτι σε θάλπουσαν παῖδας ὑπὸ πτέρυγι,
just you warming children under wing

ἀΐξας ἔντοσθε νεοσσοκόμοιο καλιῆς
having-darted within of-nestling-rearing of-nest
νόσφισεν ὠδίνων τετραέλικτος ὄφις,
separated from-pangs four-coiled snake
καὶ σὲ κινυρομέναν ὁπότ' ἀθρόος ἦλθε δαΐζων,
and you lamenting when thick came slaying
ἤριπεν ἐσχαρίου λάβρον ἐπ' ἄσθμα πυρός.
fell of-hearth fierce on blast of-fire
ὡς θάνεν ἠλιτοεργός· ἴδ' ὡς Ἥφαιστος ἀμύντωρ
so died (the)-evildoer see how Hephaestus defender
τὰν ἀπ' Ἐριχθονίου παιδὸς ἔσωσε γονάν.
the from of-Erichthonius child saved offspring

211. ΤΥΜΝΕΩ

211 of-Tymnes

Τῇδε τὸν ἐκ Μελίτης ἀργὸν κύνα φησὶν ὁ πέτρος
Here the from Melite white dog says the stone
ἴσχειν, Εὐμήλου πιστότατον φύλακα.
to-hold of-Eumelus most-faithful guard
Ταῦρόν μιν καλέεσκον, ὅτ' ἦν ἔτι· νῦν δὲ τὸ κείνου
Bull him they-called when he-was still now and the of-that-one
φθέγμα σιωπηραὶ νυκτὸς ἔχουσιν ὁδοί.
voice silent of-night hold roads

212. ΜΝΑΣΑΛΚΟΥ

212 of-Mnasalces

Αἰθυίας, ξένε, τόνδε ποδηνέμου ἔννεπε τύμβον,
Of-Aethyia stranger this of-wind-footed tell tomb
τᾶς ποτ' ἐλαφρότατον χέρσος ἔθρεψε γόνυ·
of-whom once lightest dry-land reared knee
πολλάκι γὰρ νάεσσιν ἰσόδρομον ἄνυσε μᾶκος,
often for with-ships equal-running accomplished length
ὄρνις ὅπως δολιχὰν ἐκπονέουσα τρίβον.
bird like long working-out track

213. ΑΡΧΙΟΥ

213 of-Archias

Πρὶν μὲν ἐπὶ χλωροῖς ἐριθηλέος ἔρνεσι πεύκας
Before indeed on green of-flourishing shoots of-pine
ἥμενος, ἢ σκιερᾶς ἀκροκόμου πίτυος,
sitting or of-shady of-leafy-topped of-pine
ἔκρεκες εὐτάρσοιο δι' ἰξύος ἀχέτα μολπὰν
you-struck of-well-winged through loin chirping song
τέττιξ, οἰονόμοις τερπνότερον χέλυος.
cicada to-solitary-shepherds sweeter than-lyre
νῦν δέ σε, μυρμάκεσσιν ὑπ' εἰνοδίοισι δαμέντα,
now and you ants by wayside subdued
Ἄϊδος ἀπροϊδὴς ἀμφεκάλυψε μυχός.
of-Hades unforeseen covered-over nook
εἰ δ' ἑάλως, συγγνωστόν, ἐπεὶ καὶ κοίρανος ὕμνων
if but you-were-caught pardonable since also lord of-hymns
Μαιονίδας γρίφοις ἰχθυβόλων ἔθανεν.
Maeonides by-riddles of-fishermen died

214. ΤΟΥ ΑΥΤΟΥ

214 of-the same

Οὐκέτι παφλάζοντα διαΐσσων βυθὸν ἅλμης
No-longer boiling darting-through depth of-brine
δελφίς, πτοιήσεις εἰναλίων ἀγέλας,
dolphin you-will-scare sea's herds
οὐδὲ πολυτρήτοιο μέλος καλάμοιο χορεύων
nor of-many-holed music of-reed dancing
ὑγρὸν ἀναρρίψεις ἅλμα παρὰ σκαφίσιν·
wet you-will-toss leap beside boats
οὐδὲ σὺ γ', ἀφρηστά, Νηρηΐδας ὡς πρὶν ἀείρων
nor you indeed foam-crested Nereids as before lifting
νώτοις πορθμεύσεις Τηθύος εἰς πέρατα.
on-back you-will-ferry of-Tethys to limits
ἦ γὰρ ἴσον πρηῶνι Μαλείης ὡς ἐκυκήθη,
truly for equal to-headland of-Malea as was-stirred
κῦμα πολυψάμμους ὦσέ σ' ἐπὶ ψαμάθους.
wave many-sanded thrust you upon sands

Anyte's dolphin, thrown on the shore, no longer leaps by ships, and a stranded dolphin is buried by the pious. Then the courtesans: Archeanassa of Colophon, loved even in her wrinkles; Lais of Corinth, more delicate than Cypris, for whom Hellas would have fought as for Helen; and Agathias weeps at her grave by the road to Ephyra. Patrophila, Trygonion, and the dancer Aristion are mourned. Callicrateia bore twenty-nine children and saw none die, and time wears down Laertes' tomb but not the hero's name. Anacreon mourns Agathon, who died for Abdera, and Crinagoras is bolder than a lion.

215. ΑΝΥΤΗΣ ΜΕΛΟΠΟΙΟΥ

215 of-Anyte the-lyric-poet

Οὐκέτι δὴ πλωτοῖσιν ἀγαλλόμενος πελάγεσσιν
No-longer indeed in-sailable delighting in-seas
αὐχέν' ἀναρρίψω βυσσόθεν ὀρνύμενος,
neck I-will-toss from-the-depths rising
οὐδὲ περὶ †σκαλάμοισι νεὼς περικαλλέα χείλη
nor around thole-pins of-ship beautiful lips
ποιφύσσω, τἀμᾷ τερπόμενος προτομᾷ·
do-I-puff in-my delighting figurehead
ἀλλά με πορφυρέα πόντου νοτὶς ὧσ' ἐπὶ χέρσον,
but me purple of-sea moisture thrust on dry-land
κεῖμαι δὲ †ῥαδινὰν τάνδε παρ' ἠϊόνα.
I-lie and slender this by shore

216. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ

216 of-Antipater of-Thessalonica

Κύματα καὶ τρηχύς με κλύδων ἐπὶ χέρσον ἔσυρεν
Waves and rough me surge on dry-land dragged
δελφῖνα, ξείνοις κοινὸν ὅραμα τύχης.
dolphin to-strangers common spectacle of-fortune
ἀλλ᾽ ἐπὶ μὲν γαίης ἐλέῳ τόπος· οἱ γὰρ ἰδόντες
but on indeed earth for-pity place they for having-seen
εὐθύ με πρὸς τύμβους ἔστεφον εὐσεβέες·
straightway me for tomb crowned pious
νῦν δὲ τεκοῦσα θάλασσα διώλεσε. τίς παρὰ πόντῳ
now but having-borne sea destroyed what by sea
πίστις, ὃς οὐδ᾽ ἰδίης φείσατο συντροφίης;
trust which not-even own spared fellow-nursling

217. ΑΣΚΛΗΠΙΑΔΟΥ

217 of-Asclepiades

Ἀρχεάνασσαν ἔχω, τὰν ἐκ Κολοφῶνος ἑταίραν,
Archeanassa I-hold the from Colophon courtesan
ἃς καὶ ἐπὶ ῥυτίδων ὁ γλυκὺς ἕζετ᾽ Ἔρως.
of-whom even on wrinkles the sweet sat Love
ἃ νέον ἥβης ἄνθος ἀποδρέψαντες ἐρασταὶ
ah new of-youth flower having-plucked lovers
πρωτοβόλου, δι᾽ ὅσης ἦλθετε πυρκαϊῆς.
of-first-shot through how-great you-came pyre

218. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

218 of-Antipater of-Sidon

Τὴν καὶ ἅμα χρυσῷ καὶ ἁλουργίδι καὶ σὺν Ἔρωτι
Her both together with-gold and purple and with Love
θρυπτομένην, ἁπαλῆς Κύπριδος ἁβροτέραν
pampered than-tender than-Cypris more-delicate
Λαΐδ' ἔχω, πολιῆτιν ἁλιζώνοιο Κορίνθου,
Lais I-hold citizen of-sea-girt of-Corinth
Πειρήνης λευκῶν φαιδροτέραν λιβάδων,
than-Pirene white brighter than-springs
τὴν θνητὴν Κυθέρειαν, ἐφ' ᾗ μνηστῆρες ἀγαυοὶ
the mortal Cytherea for whom suitors noble
πλείονες ἢ νύμφης εἵνεκα Τυνδαρίδος,
more than of-bride for-sake of-Tyndarid
δρεπτόμενοι χάριτάς τε καὶ ὠνητὴν ἀφροδίτην·
plucking favors both and bought love
ἧς καὶ ὑπ' εὐώδει τύμβος ὄδωδε κρόκῳ,
of-whom even under fragrant tomb smells saffron
ἧς ἔτι κηώεντι μύρῳ τὸ διάβροχον ὀστεῦν,
of-whom still fragrant with-myrrh the soaked bone
καὶ λιπαραὶ θυόεν ἄσθμα πνέουσι κόμαι·
and sleek incense-scented breath breathe locks
ᾗ ἔπι καλὸν ἄμυξε κάτα ῥέθος Ἀφρογένεια,
whom for fair tore down face Foam-born
καὶ γοερὸν λύζων ἐστονάχησεν Ἔρως.
and mournful sobbing groaned Love
εἰ δ' οὐ πάγκοινον δούλην θέτο κέρδεος εὐνήν,
if but not common slave she-made of-gain bed
Ἑλλὰς ἄν, ὡς Ἑλένης, τῆσδ' ὕπερ ἔσχε πόνον.
Hellas — as of-Helen her for would-have-had toil

219. ΠΟΜΠΗΙΟΥ ΝΕΩΤΕΡΟΥ

219 of-Pompeius the-Younger

Ἡ τὸ καλὸν καὶ πᾶσιν ἐράσμιον ἀνθήσασα,
She the beauty and to-all lovely having-flowered
ἡ μούνη Χαρίτων λείρια δρεψαμένη,
she alone of-Graces lilies having-plucked
οὐκέτι χρυσοχάλινον ὁρᾷ δρόμον ἠελίοιο
no-longer golden-bridled sees course of-sun
Λαΐς, ἐκοιμήθη δ' ὕπνον ὀφειλόμενον,
Lais was-laid-to-sleep and sleep owed
κώμους, καὶ τὰ νέων ζηλώματα, καὶ τὰ ποθεύντων
revels and the of-young jealousies and the of-longing
κνίσματα, καὶ μύστην λύχνον ἀπειπαμένη.
scratches and initiate lamp having-renounced

220. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

220 of-Agathias Scholasticus

Ἕρπων εἰς Ἐφύρην τάφον ἔδρακον ἀμφὶ κέλευθον
Going to Ephyra tomb I-saw by road
Λαΐδος ἀρχαίης, ὡς τὸ χάραγμα λέγει.
of-Lais of-ancient as the inscription says
δάκρυ δ' ἐπισπείσας, "Χαίροις, γύναι, ἐκ γὰρ ἀκουῆς
tear and having-poured Farewell woman from for hearsay
οἰκτείρω σέ γ'," ἔφην, "ἣν πάρος οὐκ ἰδόμην.
pity you indeed I-said whom before not I-saw
ἆ πόσον ἠϊθέων νόον ἤκαχες· ἀλλ' ἴδε, Λήθην
ah how-much of-youths mind you-grieved but see Lethe
ναίεις, ἀγλαΐην ἐν χθονὶ κατθεμένη."
you-dwell beauty in earth having-laid-down

221. ΑΔΕΣΠΟΤΟΝ

221 anonymous

Ἀκμαίη πρὸς ἔρωτα καὶ ἡδέα Κύπριδος ἔργα,
Blooming for love and sweet of-Cypris works
Πατροφίλα, κανθοὺς τοὺς γλυκεροὺς ἔμυσας·
Patrophila eyes the sweet you-closed
ἐσβέσθη δὲ τὰ φίλτρα τὰ κωτίλα, χὠ μετ᾽ ἀοιδῆς
were-quenched and the charms the chattering and-the with song
ψαλμός, καὶ κυλίκων αἱ λαμυραὶ προπόσεις.
harping and of-cups the wanton pledges
Ἅδη δυσκίνητε, τί τὴν ἐπέραστον ἑταίρην
Hades hard-to-move why the lovely courtesan
ἥρπασας; ἢ καὶ σὴν Κύπρις ἔμηνε φρένα;
you-snatched or also your Cypris maddened mind

222. ΦΙΛΟΔΗΜΟΥ

222 of-Philodemus

Ἐνθάδε τῆς τρυφερῆς μαλακὸν ῥέθος, ἐνθάδε κεῖται
Here of-the luxurious soft face here lies
Τρυγόνιον, σαβακῶν ἄνθεμα σαλμακίδων·
Trygonion of-wanton flower of-Salmacids
ᾗ καλύβη καὶ δοῦπος ἐνέπρεπεν, ᾗ φιλοπαίγμων
whom hut and din graced whom fond-of-play
στωμυλίη, Μήτηρ ἣν ἐφίλησε θεῶν·
chatter Mother whom loved of-gods
ἡ μούνη στέρξασα τὰ Κύπριδος ἡμιγυναίκων
she alone having-loved the of-Cypris of-half-women
ὄργια, καὶ φίλτρων Λαΐδος ἁψαμένη.
rites and of-love-charms of-Lais having-touched

φῦε κατὰ στήλης, ἱερὴ κόνι, τῇ φιλοβάκχῳ
grow on stele holy dust for-the bacchant
μὴ βάτον, ἀλλ᾽ ἁπαλὰς λευκοΐων κάλυκας.
not bramble but tender of-white-violets cups

223. ΘΥΙΛΛΟΥ

223 of-Thyillus

Ἡ κροτάλοις ὀρχηστρὶς Ἀρίστιον, ἡ περὶ πεύκας
She with-castanets dancer Aristion she around pines
τῇ Κυβέλῃ πλοκάμους ῥῖψαι ἐπισταμένη,
— for-Cybele locks to-toss knowing
ἡ λωτῷ κερόεντι φορουμένη, ἡ τρὶς ἐφεξῆς
she by-pipe horned carried she thrice in-a-row
εἰδυῖ᾽ ἀκρήτου χειλοποτεῖν κύλικας,
knowing of-unmixed to-lip-drink cups
ἐνθάδ᾽ ὑπὸ πτελέαις ἀναπαύεται, οὐκέτ᾽ ἔρωτι,
here under elms rests no-longer in-love
οὐκέτι παννυχίδων τερπομένη καμάτοις.
no-longer of-night-festivals delighting in-toils
κῶμοι καὶ μανίαι, μέγα χαίρετε· κεῖθ᾽ ἱερὰ θρίξ
revels and frenzies greatly farewell lies holy hair
ἡ τὸ πρὶν στεφάνων ἄνθεσι κρυπτομένη.
the the before of-garlands with-flowers hidden

224. ΑΔΕΣΠΟΤΟΝ

224 anonymous

Εἴκοσι Καλλικράτεια καὶ ἐννέα τέκνα τεκοῦσα,
Twenty Callicrateia and nine children having-borne
οὐδ' ἑνὸς οὐδὲ μιῆς ἐδρακόμην θάνατον·
not of-one nor of-one I-saw death
ἀλλ' ἑκατὸν καὶ πέντε διηνυσάμην ἐνιαυτούς,
but hundred and five I-completed years
σκίπωνι τρομερὰν οὐκ ἐπιθεῖσα χέρα.
on-staff trembling not having-put hand

225. ΑΔΕΣΠΟΤΟΝ

225 anonymous

Ψήχει καὶ πέτρην ὁ πολὺς χρόνος, οὐδὲ σιδήρου
Wears-away even rock the much time nor iron
φείδεται, ἀλλὰ μιῇ πάντ' ὀλέκει δρεπάνῃ·
spares but with-one all destroys with-sickle
ὡς καὶ Λαέρταο τόδ' ἠρίον, ὃ σχεδὸν ἀκτῆς
so also of-Laertes this tomb which near shore
βαιὸν ἄπο, ψυχρῶν λείβεται ἐξ ὑετῶν.
little from cold is-washed by rains
οὔνομα μὴν ἥρωος ἀεὶ νέον· οὐ γὰρ ἀοιδὰς
name indeed of-hero ever new not for songs
ἀμβλύνειν αἰών, κἢν ἐθέλῃ, δύναται.
to-blunt age even-if it-wishes is-able

226. ΑΝΑΚΡΕΟΝΤΟΣ ΤΗΙΟΥ

226 of-Anacreon of-Teos

Ἀβδήρων προθανόντα τὸν αἰνοβίην Ἀγάθωνα
Of-Abdera having-died-for the terribly-strong Agathon
πᾶσ᾽ ἐπὶ πυρκαϊῇς ἥδ᾽ ἐβόησε πόλις.
all at pyre this cried city
οὔ τινα γὰρ τοιόνδε νέων ὁ φιλαίματος Ἄρης
not anyone for such of-young the blood-loving Ares
ἠνάρισεν στυγερῆς ἐν στροφάλιγγι μάχης.
slew of-hateful in whirl of-battle

227. ΔΙΟΤΙΜΟΥ

227 of-Diotimus

Οὐδὲ λέων ὡς δεινὸς ἐν οὔρεσιν, ὡς ὁ Μίκωνος
Not-even lion so terrible in mountains as the of-Micon
υἱὸς Κριναγόρης ἐν σακέων πατάγῳ.
son Crinagoras in of-shields din
εἰ δὲ κάλυμμ᾽ ὀλίγον, μὴ μέμφεο· μικρὸς ὁ χῶρος,
if but covering small not blame small the place
ἀλλ᾽ ἄνδρας πολέμου τλήμονας οἷδε φέρειν.
but men of-war enduring knows to-bear

Androtion built a tomb for himself and his family. Spartan parents follow: old Tynnichus buries his son Thrasybulus without a tear, and a mother kills her son Demetrius, who fled from battle; Aristagoras died for Ambracia rather than flee. Amyntor fell protecting a comrade; Aelius, the Roman commander, stabbed himself rather than let disease kill him. Themistocles' tomb at Magnesia is too small for him and shows Greek envy. Philip, Alexander, and the young Ptolemy are mourned, and patriots who died to free their city, Leonidas' three hundred at Thermopylae, and the fallen of Thyrea close the section.

228. ΑΔΕΣΠΟΤΟΝ

228 anonymous

Αὑτῷ καὶ τεκέεσσι γυναικί τε τύμβον ἔδειμεν
For-himself and for-children for-wife and tomb built
Ἀνδροτίων· οὔπω δ' οὐδενός εἰμι τάφος.
Androtion not-yet but of-no-one I-am tomb
οὕτω καὶ μείναιμι πολὺν χρόνον· εἰ δ' ἄρα καὶ δεῖ,
so also may-I-remain long time if but then even it-must
δεξαίμην ἐν ἐμοὶ τοὺς προτέρους προτέρους.
may-I-receive in me the elder elder

229. ΔΙΟΣΚΟΡΙΔΟΥ

229 of-Dioscorides

Τᾷ Πιτάνᾳ Θρασύβουλος ἐπ' ἀσπίδος ἤλυθεν ἄπνους,
— to-Pitana Thrasybulus on shield came breathless
ἑπτὰ πρὸς Ἀργείων τραύματα δεξάμενος,
seven from of-Argives wounds having-received

δεικνὺς ἀντία πάντα· τὸν αἱματόεντα δ᾽ ὁ πρέσβυς
showing in-front all the blood-stained and the old-man
παῖδ᾽ ἐπὶ πυρκαϊὴν Τύννιχος εἶπε τιθείς·
son on pyre Tynnichus said placing
“Δειλοὶ κλαιέσθωσαν· ἐγὼ δὲ σέ, τέκνον, ἄδακρυς
Cowards let-be-wept I but you child tearless
θάψω, τὸν καὶ ἐμὸν καὶ Λακεδαιμόνιον.”
will-bury the both mine and Lacedaemonian

230. ΕΡΥΚΙΟΥ ΚΥΖΙΚΗΝΟΥ

230 of-Erycius of-Cyzicus

Ἀνίκ᾽ ἀπὸ πτολέμου τρέσσαντά σε δέξατο μάτηρ,
When from war having-fled you received mother
πάντα τὸν ὁπλιστὰν κόσμον ὀλωλεκότα,
all the hoplite gear having-lost
αὐτά τοι φονίαν, Δαμάτριε, αὐτίκα λόγχαν
she-herself for-you bloody Demetrius at-once spear
εἶπε διὰ πλατέων ὠσαμένα λαγόνων·
said through broad having-thrust flanks
“Κατθανε, μηδ᾽ ἐχέτω Σπάρτα ψόγον· οὐ γὰρ ἐκείνα
Die nor let-have Sparta blame not for she
ἤμπλακεν, εἰ δειλοὺς τοὐμὸν ἔθρεψε γάλα.”
erred if cowards my reared milk

231. ΔΑΜΑΓΗΤΟΥ

231 of-Damagetus

Ὧδ' ὑπὲρ Ἀμβρακίας ὁ βοαδρόμος ἀσπίδ' ἀείρας
Here for Ambracia the battle-runner shield having-raised
τεθνάμεν ἢ φεύγειν εἵλετ' Ἀρισταγόρας,
to-have-died than to-flee chose Aristagoras
υἱὸς ὁ Θευπόμπου. μὴ θαῦμ' ἔχε· Δωρικὸς ἀνὴρ
son the of-Theopompus not wonder have Dorian man
πατρίδος, οὐχ ἥβας ὀλλυμένας ἀλέγει.
for-fatherland not for-youth perishing cares

232. ΑΝΤΙΠΑΤΡΟΥ

232 of-Antipater

Λύδιον οὖδας ἔχει τόδ' Ἀμύντορα, παῖδα Φιλίππου,
Lydian ground holds this Amyntor son of-Philip
πολλὰ σιδηρείης χερσὶ θιγόντα μάχης·
much of-iron with-hands having-touched of-battle
οὐδέ μιν ἀλγινόεσσα νόσος δόμον ἄγαγε Νυκτός,
nor him painful disease to-house led of-Night
ἀλλ' ὄλετ' ἀμφ' ἑτάρῳ σχὼν κυκλόεσσαν ἴτυν.
but perished around comrade holding round rim

233. ΑΠΟΛΛΩΝΙΔΟΥ

233 of-Apollonides

Αἴλιος, Αὐσονίης στρατιῆς πρόμος, ὁ χρυσέοισι
Aelius of-Ausonian of-army champion the with-golden
στέμμασι σωρεύσας αὐχένας ὁπλοφόρους,
with-garlands having-heaped necks arms-bearing

νοῦσον ὅτ᾽ εἰς ὑπάτην ὠλίσθανε τέρμα τ᾽ ἄφυκτον
disease when into last slipped end and inescapable
εἶδεν, ἀριστείην †ἐμφανὲς εἰς ἰδίην·
saw valor visible into his-own
πῆξε δ᾽ ὑπὸ σπλάγχνοισιν ἑὸν ξίφος, εἶπέ τε θνήσκων·
fixed and under vitals his-own sword said and dying
"Αὐτὸς ἑκὼν ἐδάμην, μὴ νόσος εὖχος ἔχῃ."
Myself willing I-was-subdued not disease boast may-have

234. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ

234 of-Philip of-Thessalonica

Αἴλιος ὁ θρασύχειρ Ἄρεος πρόμος, ὁ ψελιώσας
Aelius the bold-handed of-Ares champion the having-collared
αὐχένα χρυσοδέτοις ἐκ πολέμου στεφάνοις,
neck with-gold-bound from war with-crowns
τηξιμελεῖ νούσῳ κεκολουμένος, ἔδραμε θυμῷ
by-limb-wasting by-disease cut-short ran in-spirit
ἐς προτέρην ἔργων ἄρσενα μαρτυρίην,
to former of-deeds manly witness
ὦσε δ᾽ ὑπὸ σπλάγχνοις πλατὺ φάσγανον,
thrust and under vitals broad sword
ἓν μόνον εἰπών·
one only having-said
"Ἄνδρας Ἄρης κτείνει, δειλοτέρους δὲ νόσος."
Men Ares kills more-cowardly and disease

235. ΔΙΟΔΩΡΟΥ ΤΑΡΣΕΩΣ

235 of-Diodorus of-Tarsus

Μὴ μέτρει Μάγνητι τὸ πηλίκον οὔνομα τύμβῳ,
Not measure by-Magnesian the how-great name by-tomb
μηδὲ Θεμιστοκλέους ἔργα σε λανθανέτω.
nor of-Themistocles deeds you let-escape-notice
τεκμαίρου Σαλαμῖνι καὶ ὁλκάσι τὸν φιλόπατριν·
judge by-Salamis and by-merchant-ships the patriot
γνώσῃ δ' ἐκ τούτων μείζονα Κεκροπίης.
you-will-know and from these greater than-Cecropia

236. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ

236 of-Antipater of-Thessalonica

Οὐχὶ Θεμιστοκλέους Μάγνης τάφος· ἀλλὰ κέχωσμαι
Not of-Themistocles Magnesian tomb but I-have-been-heaped
Ἑλλήνων φθονερῆς σῆμα κακοκρισίης.
of-Greeks of-envious memorial of-bad-judgment

237. ΑΛΦΕΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ

237 of-Alpheus of-Mitylene

Οὔρεά μευ καὶ πόντον ὑπὲρ τύμβοιο χάρασσε,
Mountains of-me and sea over tomb engrave
καὶ μέσον ἀμφοτέρων μάρτυρα Λητοΐδην,
and middle of-both witness Leto's-son
ἀενάων τε βαθὺν ποταμῶν ῥόον, οἵ ποτε ῥείθροις
of-ever-flowing and deep of-rivers stream which once with-currents
Ξέρξου μυριόναυν οὐχ ὑπέμειναν Ἄρην.
of-Xerxes myriad-shipped not withstood Ares

ἔγγραφε καὶ Σαλαμῖνα, Θεμιστοκλέους ἵνα σῆμα
inscribe also Salamis of-Themistocles where memorial
κηρύσσει Μάγνης δῆμος ἀποφθιμένου.
proclaims Magnesian people of-dead

238. ΑΔΔΑΙΟΥ

238 of-Addaeus

Ἠμαθίην ὃς πρῶτος ἐς Ἄρεα βῆσα Φίλιππος,
Emathia who first into Ares sent Philip
Αἰγαίην κεῖμαι βῶλον ἐφεσσάμενος,
of-Aegae I-lie clod having-put-on
ῥέξας οἷ' οὔπω βασιλεὺς τὸ πρίν· εἰ δέ τις αὐχεῖ
having-done what not-yet king the before if but someone boasts
μεῖζον ἐμεῦ, καὶ τοῦθ' αἵματος ἡμετέρου.
greater than-me also this of-blood of-our

239. ΠΑΡΜΕΝΙΩΝΟΣ

239 of-Parmenion

Φθίσθαι Ἀλέξανδρον ψευδὴς φάτις, εἴπερ ἀληθὴς
To-have-perished Alexander false report if-indeed true
Φοῖβος. ἀνικήτων ἅπτεται οὐδ' Ἀΐδης.
Phoebus of-the-unconquered touches not-even Hades

240. ΑΔΔΑΙΟΥ

240 of-Addaeus

Τύμβον Ἀλεξάνδροιο Μακηδόνος ἤν τις ἀείδῃ,
Tomb of-Alexander of-Macedonian if anyone sings
ἠπείρους κείνου σῆμα λέγ' ἀμφοτέρας.
continents of-him memorial say both

241. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

241 of-Antipater of-Sidon

Μυρία σοι, Πτολεμαῖε, πατήρ ἔπι, μυρία μάτηρ
Countless for-you Ptolemy father on countless mother
τειρομένα θαλεροὺς ἠκίσατο πλοκάμους·
being-worn blooming tore locks
πολλὰ τιθηνητήρ ὀλοφύρατο, χερσὶν ἀμήσας
much nurse lamented with-hands having-gathered
ἀνδρομάχοις δνοφερὰν κρατὸς ὕπερθε κόνιν.
with-man-fighting dark head over dust
ἁ μεγάλα δ' Αἴγυπτος ἑὰν ὠλόψατο χαίταν,
the great and Egypt her-own tore hair
καὶ πλατὺς Εὐρώπας ἐστονάχησε δόμος.
and broad of-Europe groaned house
καὶ δ' αὐτὰ διὰ πένθος ἀμαυρωθεῖσα Σελάνα
and also herself through grief having-been-darkened Selene
ἄστρα καὶ οὐρανίας ἀτραπιτοὺς ἔλιπεν.
stars and heavenly paths left
ὤλεο γὰρ διὰ λοιμὸν ὅλας θοινήτορα χέρσου,
you-perished for through plague of-whole devourer of-land
πρὶν πατέρων νεαρῷ σκᾶπτρον ἑλεῖν παλάμᾳ·
before of-fathers with-young scepter to-take with-hand

οὐ δέ σε νὺξ ἐκ νυκτὸς ἐδέξατο· δὴ γὰρ ἄνακτας
not but you night from night received indeed for kings
τοίους οὐκ Ἀΐδας, Ζεὺς δ' ἐς Ὄλυμπον ἄγει.
such not Hades Zeus but to Olympus leads

242. ΜΝΑΣΑΛΚΟΥ

242 of-Mnasalces

Οἵδε πάτραν, πολύδακρυν ἐπ' αὐχένι δεσμὸν ἔχουσαν,
These fatherland much-weeping on neck bond having
ῥυόμενοι, δνοφερὰν ἀμφεβάλοντο κόνιν·
rescuing dark put-on dust
ἄρνυνται δ' ἀρετᾶς αἶνον μέγαν. ἀλλά τις ἀστῶν
they-win and of-valor praise great but someone of-citizens
τούσδ' ἐσιδὼν θνᾴσκειν τλάτω ὑπὲρ πατρίδος.
these having-seen to-die let-dare for fatherland

243. ΛΟΛΛΙΟΥ ΒΑΣΣΟΥ

243 of-Lollius of-Bassus

Φωκίδι πὰρ πέτρῃ δέρκευ τάφον· εἰμὶ δ' ἐκείνων
Phocian by rock look-at tomb I-am and of-those
τῶν ποτε μηδοφόνων μνᾶμα τριηκοσίων,
the once Mede-slaying memorial of-three-hundred
οἳ Σπάρτας ἀπὸ γᾶς τηλοῦ πέσον, ἀμβλύναντες
who of-Sparta from land far fell having-blunted
Ἄρεα καὶ Μῆδον καὶ Λακεδαιμόνιον.
Ares both Mede and Lacedaemonian

ἣν δ' ἐσορῇς ἐπ' ἐμεῖο †βοόστρυχον εἰκόνα θηρός,
which and you-see on me ox-curled image of-beast
ἔννεπε· "Τοῦ ταγοῦ μνᾶμα Λεωνίδεω."
say Of-the commander memorial of-Leonidas

244. ΓΑΙΤΟΥΛΙΚΟΥ

244 of-Gaetulicus

Δισσὰ τριηκοσίων τάδε φάσγανα θούριος Ἄρης
Double of-three-hundred these swords impetuous Ares
ἔσπασεν Ἀργείων καὶ Λακεδαιμονίων,
drew of-Argives and of-Lacedaemonians
ἔνθα μάχην ἔτλημεν ἀνάγγελον, ἄλλος ἐπ' ἄλλῳ
where battle we-endured unannounced other on other
πίπτοντες· Θυρέαι δ' ἦσαν ἄεθλα δορός.
falling Thyrea and were prizes of-spear

Time is called on to report those who fell defending Greece on the plains of Boeotia. The Persians lie at Issus, slain by Alexander, and thirty thousand dead lie unburied in Thessaly. Simonides' epigrams for the Persian Wars follow: four thousand fought three million here; tell the Lacedaemonians that we lie here obeying their words; Greece stood on a razor's edge; they put on the dark cloud of death and do not die. The Athenians at the Eurymedon, the Eretrians carried off to Persia and lying in the plain of Ecbatana and near Susa, and a Cretan trader buried abroad are remembered. Carphyllides' old man dies content among his grandchildren. Then the drowned: Cleenorides, lost to a winter storm, the shipwrecked Diocles, and Nicetes, buried too near the sea.

245. ΤΟΥ ΑΥΤΟΥ

245 of-the same

Ὦ Χρόνε, παντοίων θνητοῖς πανεπίσκοπε δαῖμον,
O Time of-all-things for-mortals all-surveying god
ἄγγελος ἡμετέρων πᾶσι γενοῦ παθέων·
messenger of-our to-all become of-sufferings
ὡς ἱερὰν σώζειν πειρώμενοι Ἑλλάδα χώρην,
how holy to-save trying Greek land
Βοιωτῶν κλεινοῖς θνῄσκομεν ἐν δαπέδοις.
of-Boeotians famous we-die on plains

246. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

246 of-Antipater of-Sidon

Ἰσσοῦ ἐπὶ προμολῇσιν ἁλὸς παρὰ κῦμα Κιλίσσης
Of-Issus at outlets of-sea by wave Cilician
ἄγριον αἱ Περσῶν κείμεθα μυριάδες,
savage the of-Persians we-lie myriads

ἔργον Ἀλεξάνδροιο Μακηδόνος, οἳ ποτ' ἄνακτι
work of-Alexander of-Macedonian who once king
Δαρείῳ πυμάτην οἶμον ἐφεσπόμεθα.
Darius last road followed

247. ΑΛΚΑΙΟΥ

247 of-Alcaeus

Ἄκλαυστοι καὶ ἄθαπτοι, ὁδοιπόρε, τῷδ' ἐπὶ τύμβῳ
Unwept and unburied wayfarer this on tomb
Θεσσαλίας τρισσαὶ κείμεθα μυριάδες,
of-Thessaly three we-lie myriads
Ἡμαθίῃ μέγα πῆμα· τὸ δὲ θρασὺ κεῖνο Φιλίππου
for-Emathia great bane the but bold that of-Philip
πνεῦμα θοῶν ἐλάφων ὤχετ' ἐλαφρότερον.
spirit than-swift than-deer went lighter

248. ΣΙΜΩΝΙΔΟΥ

248 of-Simonides

Μυριάσιν ποτὲ τῇδε τριηκοσίαις ἐμάχοντο
With-myriads once here three-hundred fought
ἐκ Πελοποννάσου χιλιάδες τέτορες.
from Peloponnese thousands four

249. ΤΟΥ ΑΥΤΟΥ

249 of-the same

Ὦ ξεῖν', ἄγγειλον Λακεδαιμονίοις ὅτι τῇδε
O stranger tell to-Lacedaemonians that here
κείμεθα, τοῖς κείνων ῥήμασι πειθόμενοι.
we-lie to-the their words obeying

250. ΤΟΥ ΑΥΤΟΥ

250 of-the same

Ἀκμᾶς ἑστακυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν
Of-peak standing on razor Hellas all
ταῖς αὐτῶν ψυχαῖς κείμεθα ῥυσάμενοι.
with-the own lives we-lie having-rescued

251. ΤΟΥ ΑΥΤΟΥ

251 of-the same

Ἄσβεστον κλέος οἵδε φίλῃ περὶ πατρίδι θέντες
Unquenchable glory these dear around fatherland having-set
κυάνεον θανάτου ἀμφεβάλοντο νέφος.
dark of-death put-on cloud
οὐδὲ τεθνᾶσι θανόντες, ἐπεὶ σφ' ἀρετὴ καθύπερθε
nor have-died having-died since them valor from-above
κυδαίνουσ' ἀνάγει δώματος ἐξ Ἀΐδεω.
glorifying leads-up house out of-Hades

252. ΑΝΤΙΠΑΤΡΟΥ

252 of-Antipater

Οἵδ' Ἀΐδαν στέρξαντες ἐνόπλιον, οὐχ, ἅπερ ἄλλοι,
These Hades having-loved armed not as others
στάλαν, ἀλλ' ἀρετὰν ἀντ' ἀρετᾶς ἔλαχον.
stele but valor for valor obtained

253. ΣΙΜΩΝΙΔΟΥ

253 of-Simonides

Εἰ τὸ καλῶς θνήσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον,
If the nobly to-die of-valor part is greatest
ἡμῖν ἐκ πάντων τοῦτ' ἀπένειμε Τύχη·
to-us from all this assigned Fortune
Ἑλλάδι γὰρ σπεύδοντες ἐλευθερίην περιθεῖναι
for-Hellas for hastening freedom to-put-around
κείμεθ' ἀγηράτῳ χρώμενοι εὐλογίῃ.
we-lie ageless enjoying praise

254. ΤΟΥ ΑΥΤΟΥ

254 of-the same

Χαίρετ' ἀριστῆες πολέμου μέγα κῦδος ἔχοντες,
Farewell champions of-war great glory having
κοῦροι Ἀθηναίων, ἔξοχοι ἱπποσύνῃ,
youths of-Athenians preeminent in-horsemanship
οἵ ποτε καλλιχόρου περὶ πατρίδος ὠλέσαθ' ἥβην
who once of-fair-dancing for fatherland lost youth
πλείστοις Ἑλλήνων ἀντία μαρνάμενοι.
with-most of-Greeks against fighting

254 b. ΤΟΥ ΑΥΤΟΥ

254 b of-the same

Κρὴς γενεὰν Βρόταχος Γορτύνιος ἐνθάδε κεῖμαι,
Cretan by-race Brotachus Gortynian here I-lie
οὐ κατὰ τοῦτ' ἐλθών, ἀλλὰ κατ' ἐμπορίην.
not for this having-come but for trade

255. ΑΙΣΧΥΛΟΥ

255 of-Aeschylus

Κυανέη καὶ τούσδε μενέγχεας ὤλεσεν ἄνδρας
Dark also these steadfast-spearmen destroyed men
Μοῖρα, πολύρρηνον πατρίδα ῥυομένους.
Fate many-flocked fatherland defending
ζωὸν δὲ φθιμένων πέλεται κλέος, οἵ ποτε γυίοις
living but of-dead is glory who once on-limbs
τλήμονες Ὀσσαίαν ἀμφιέσαντο κόνιν.
enduring Ossaean put-on dust

256. ΠΛΑΤΩΝΟΣ

256 of-Plato

Οἵδε ποτ' Αἰγαίοιο βαρύβρομον οἶδμα λιπόντες
These once of-Aegean deep-roaring swell having-left
Ἐκβατάνων πεδίῳ κείμεθ' ἐνὶ μεσάτῳ.
of-Ecbatana plain we-lie in middle
χαῖρε, κλυτή ποτε πατρὶς Ἐρέτρια· χαίρετ', Ἀθῆναι
farewell famous once fatherland Eretria farewell Athens
γείτονες Εὐβοίης· χαῖρε, θάλασσα φίλη.
neighbors of-Euboea farewell sea dear

257. ΑΔΗΛΟΝ

257 uncertain

Παῖδες Ἀθηναίων Περσῶν στρατὸν ἐξολέσαντες
Sons of-Athenians of-Persians army having-destroyed
ἤρκεσαν ἀργαλέην πατρίδι δουλοσύνην.
warded-off grievous from-fatherland slavery

258. ΣΙΜΩΝΙΔΟΥ

258 of-Simonides

Οἵδε παρ' Εὐρυμέδοντά ποτ' ἀγλαὸν ὤλεσαν ἥβην
These by Eurymedon once splendid lost youth
μαρνάμενοι Μήδων τοξοφόρων προμάχοις
fighting of-Medes of-bow-bearing with-front-fighters
αἰχμηταὶ πεζοί τε καὶ ὠκυπόρων ἐπὶ νηῶν·
spearmen on-foot both and swift-faring on ships
κάλλιστον δ' ἀρετῆς μνῆμ' ἔλιπον φθίμενοι.
fairest and of-valor memorial left having-perished

259. ΠΛΑΤΩΝΟΣ

259 of-Plato

Εὐβοίης γένος ἐσμὲν Ἐρετρικόν, ἄγχι δὲ Σούσων
Of-Euboea race we-are Eretrian near and Susa
κείμεθα· φεῦ, γαίης ὅσσον ἀφ' ἡμετέρης.
we-lie alas land how-far from our

260. ΚΑΡΦΥΛΛΙΔΟΥ

260 of-Carphyllides

Μὴ μέμψῃ παριὼν τὰ μνήματά μου, παροδῖτα·
Not blame passing the memorials my wayfarer
οὐδὲν ἔχω θρήνων ἄξιον οὐδὲ θανών.
nothing I-have of-dirges worthy not-even having-died
τέκνων τέκνα λέλοιπα· μιῆς ἀπέλαυσα γυναικὸς
of-children children I-have-left of-one I-enjoyed of-wife
συγγήρου· τρισσοῖς παισὶν ἔδωκα γάμους,
aging-with-me for-three for-children I-gave marriages
ἐξ ὧν πολλάκι παῖδας ἐμοῖς ἐνεκοίμισα κόλποις,
from whom often children on-my I-lulled on-bosom
οὐδενὸς οἰμώξας οὐ νόσον, οὐ θάνατον,
of-no-one having-lamented not sickness not death
οἵ με κατασπείσαντες ἀπήμονα, τὸν γλυκὺν ὕπνον
who me having-poured-libations painless the sweet sleep
κοιμᾶσθαι, χώρην πέμψαν ἐπ᾽ εὐσεβέων.
to-sleep to-land sent to of-pious

261. ΔΙΟΤΙΜΟΥ

261 of-Diotimus

Τί πλέον εἰς ὠδῖνα πονεῖν, τί δὲ τέκνα τεκέσθαι,
What more to birth-pang to-toil what and children to-bear
ἢ τέκοι εἰ μέλλει παιδὸς ὁρᾶν θάνατον;
she-who may-bear if she-is-to of-child to-see death
ἠϊθέῳ γὰρ σῆμα Βιάνορι χεύατο μήτηρ·
for-youth for tomb for-Bianor heaped mother
ἔπρεπε δ᾽ ἐκ παιδὸς μητέρα τοῦδε τυχεῖν.
was-fitting but from child mother this to-get

262. ΘΕΟΚΡΙΤΟΥ ΒΟΥΚΟΛΙΚΟΥ

262 of-Theocritus the-Bucolic

Αὐδήσει τὸ γράμμα τί σᾶμά τε καὶ τίς ὑπ' αὐτῷ.
Will-tell the inscription what tomb both and who under it
Γλαύκης εἰμὶ τάφος τῆς ὀνομαζομένης.
of-Glauce I-am tomb of-the renowned

263. ΑΝΑΚΡΕΟΝΤΟΣ ΤΗΙΟΥ

263 of-Anacreon of-Teos

Καὶ σέ, Κλεηνορίδη, πόθος ὤλεσε πατρίδος αἴης
And you Cleenorides longing destroyed of-fatherland of-land
θαρσήσαντα Νότου λαίλαπι χειμερίῃ.
having-trusted of-South-Wind to-storm wintry
ὥρη γάρ σε πέδησεν ἀνέγγυος· ὑγρὰ δὲ τὴν σὴν
season for you fettered unpledged wet and the your
κύματ' ἀφ' ἱμερτὴν ἔκλυσεν ἡλικίην.
waves away lovely washed youth

264. ΛΕΩΝΙΔΟΥ

264 of-Leonidas

Εἴη ποντοπόρῳ πλόος οὔριος· ὃν δ' ἄρ' ἀήτης,
May-be for-seafarer voyage favorable whom but then wind
ὡς ἐμέ, τοῖς Ἀΐδεω προσπελάσῃ λιμέσιν,
as me to-the of-Hades brings-near harbors
μεμφέσθω μὴ λαῖτμα κακόξενον, ἀλλ' ἕο τόλμαν,
let-him-blame not gulf inhospitable but his-own daring
ὅστις ἀφ' ἡμετέρου πείσματ' ἔλυσε τάφου.
whoever from our cables loosed tomb

265. ΠΛΑΤΩΝΟΣ

265 of-Plato

Ναυηγοῦ τάφος εἰμί· ὁ δ' ἀντίον ἐστὶ γεωργοῦ·
Of-shipwrecked tomb I-am the and opposite is of-farmer
ὡς ἁλὶ καὶ γαίῃ ξυνὸς ὕπεστ' Ἀΐδης.
as for-sea and for-earth common is-below Hades

266. ΛΕΩΝΙΔΟΥ

266 of-Leonidas

Ναυηγοῦ τάφος εἰμὶ Διοκλέος· οἱ δ' ἀνάγονται,
Of-shipwrecked tomb I-am of-Diocles the(-others) and put-out-to-sea
φεῦ τόλμης, ἀπ' ἐμοῦ πείσματα λυσάμενοι.
alas of-daring from me cables having-loosed

267. ΠΟΣΕΙΔΙΠΠΟΥ

267 of-Posidippus

Ναυτίλοι, ἐγγὺς ἁλὸς τί με θάπτετε; πολλὸν ἄνευθε
Sailors near sea why me you-bury far away
χῶσαι ναυηγοῦ τλήμονα τύμβον ἔδει.
to-heap of-shipwrecked wretched tomb it-was-needed
φρίσσω κύματος ἦχον, ἐμὸν μόρον. ἀλλὰ καὶ οὕτως
I-shudder of-wave sound my doom but even so
χαίρετε, Νικήτην οἵτινες οἰκτίρετε.
farewell Nicetes you-who pity

The shipwrecked fill the section. In Plato's epigrams the sea was ashamed to strip a drowned man of his cloak but a man stripped him, and sailors are wished safe on land and sea. A Spartan cargo of first-fruits sinks in one night. Callimachus' Sopolis lies at sea while his name is on an empty tomb, and Lycus' cenotaph warns against sailing at the setting of the Kids. Fish eat the drowned, and a lying stone stands over men whose bodies are lost. Cretans are liars and their tomb lies. A man buried by the shore hears the sea forever, and a plowman is told not to drive over a tomb. A shipwrecked man's tomb bids others sail on.

268. ΠΛΑΤΩΝΟΣ

268 of-Plato

Ναυηγόν με δέδορκας. ὃν οἰκτείρασα θάλασσα
Shipwrecked me you-see whom having-pitied sea
γυμνῶσαι πυμάτου φάρεος ᾐδέσατο,
to-strip of-last of-cloak was-ashamed
ἄνθρωπος παλάμῃσιν ἀταρβήτοις μ' ἀπέδυσε,
man with-hands fearless me stripped
τόσσον ἄγος τόσσου κέρδεος ἀράμενος.
so-great curse for-so-great gain having-taken-on
κεῖνο καὶ ἐνδύσαιτο, καὶ εἰς Ἀΐδαο φέροιτο,
that also may-he-put-on and to of-Hades may-carry
καί μιν ἴδοι Μίνως τοὐμὸν ἔχοντα ῥάκος.
and him may-see Minos my having rag

269. ΤΟΥ ΑΥΤΟΥ

269 of-the same

Πλωτῆρες, σώζοισθε καὶ εἰν ἁλὶ καὶ κατὰ γαῖαν·
Sailors may-you-be-safe both in sea and on land
ἴστε δὲ ναυηγοῦ σῆμα παρερχόμενοι.
know and of-shipwrecked tomb passing

270. ΣΙΜΩΝΙΔΟΥ

270 of-Simonides

Τούσδε ποτ' ἐκ Σπάρτας ἀκροθίνια Φοίβῳ ἄγοντας
These once from Sparta first-fruits to-Phoebus bringing
ἓν πέλαγος, μία νύξ, ἓν σκάφος ἐκτέρισεν.
one sea one night one ship buried

271. ΚΑΛΛΙΜΑΧΟΥ

271 of-Callimachus

Ὤφελε μηδ' ἐγένοντο θοαὶ νέες· οὐ γὰρ ἂν ἡμεῖς
Would-that not-even had-been swift ships not for — we
παῖδα Διοκλείδου Σώπολιν ἐστένομεν·
son of-Diocleides Sopolis would-mourn
νῦν δ' ὁ μὲν εἰν ἁλί που φέρεται νέκυς·
now but he indeed in sea somewhere is-borne corpse
ἀντὶ δ' ἐκείνου
instead and of-him
οὔνομα καὶ κενεὸν σῆμα παρερχόμεθα.
name and empty tomb we-pass

272. ΚΑΛΛΙΜΑΧΟΥ

272 of-Callimachus

Νάξιος οὐκ ἐπὶ γῆς ἔθανεν Λύκος, ἀλλ' ἐνὶ πόντῳ
Naxian not on land died Lycus but in sea
ναῦν ἅμα καὶ ψυχὴν εἶδεν ἀπολλυμένην,
ship together and life saw perishing
ἔμπορος Αἰγίνηθεν ὅτ' ἔπλεε· χὠ μὲν ἐν ὑγρῇ
merchant from-Aegina when he-sailed and-he indeed in wet
νεκρός· ἐγὼ δ' ἄλλως οὔνομα τύμβος ἔχων,
corpse I and vainly name tomb having
κηρύσσω πανάληθες ἔπος τόδε· "Φεῦγε θαλάσσῃ
proclaim all-true word this Flee with-sea
συμμίσγειν Ἐρίφων, ναυτίλε, δυομένων."
to-have-dealings of-Kids sailor setting

273. ΛΕΩΝΙΔΟΥ

273 of-Leonidas

Εὔρου με τρηχεῖα καὶ αἰπήεσσα καταιγίς,
Of-East-Wind me rough and steep squall
καὶ νύξ, καὶ δνοφερῆς κύματα πανδυσίης
and night and of-dark waves of-setting
ἔβλαψ' Ὠρίωνος· ἀπώλισθον δὲ βίοιο
harmed of-Orion I-slipped and from-life
Κάλλαισχρος, Λιβυκοῦ μέσσα θέων πελάγευς.
Callaeschrus of-Libyan middle running of-sea
κἀγὼ μὲν πόντῳ δινεύμενος, ἰχθύσι κύρμα,
and-I indeed in-sea whirled for-fish prey
οἴχημαι· ψεύστης δ' οὗτος ἔπεστι λίθος.
am-gone lying and this is-upon stone

274. ΟΝΕΣΤΟΥ ΒΥΖΑΝΤΙΟΥ

274 of-Honestus of-Byzantium

Οὔνομα κηρύσσω Τιμοκλέος, εἰς ἅλα πικρὴν
Name I-proclaim of-Timocles into sea bitter
πάντῃ σκεπτομένη ποῦ ποτ᾽ ἄρ᾽ ἐστὶ νέκυς.
everywhere looking where ever then is corpse
αἰαῖ· τὸν δ᾽ ἤδη φάγον ἰχθύες· ἡ δὲ περισσὴ
alas him and already ate fish the and superfluous
πέτρος ἐγὼ τὸ μάτην γράμμα τορευθὲν ἔχω.
stone I the vainly letter carved I-hold

275. ΓΑΙΤΟΥΛΙΚΟΥ

275 of-Gaetulicus

Ἁ Πέλοπος νᾶσος καὶ δύσπλοος ὤλεσε Κρήτα,
The of-Pelops island and hard-to-sail destroyed Crete
καὶ Μαλέου τυφλαὶ καμπτομένου σπιλάδες
and of-Malea blind rounded reefs
Δάμιδος Ἀστυδάμαντα Κυδώνιον. ἀλλ᾽ ὁ μὲν ἤδη
of-Damis Astydamas Cydonian but he indeed already
ἔπλησεν θηρῶν νηδύας εἰναλίων·
filled of-beasts bellies sea's
τὸν ψεύσταν δέ με τύμβον ἐπὶ χθονὶ θέντο. τί θαῦμα;
the lying and me tomb on earth set what wonder
Κρῆτες ὅπου ψεῦσται, καὶ Διός ἔστι τάφος.
Cretans where liars also of-Zeus is tomb

276. ΗΓΗΣΙΠΠΟΥ

276 of-Hegesippus

Ἐξ ἁλὸς ἡμίβρωτον ἀνηνέγκαντο σαγηνεῖς
From sea half-eaten brought-up net-fishers
ἄνδρα, πολύκλαυτον ναυτιλίης σκύβαλον·
man much-lamented of-seafaring refuse
κέρδεα δ' οὐκ ἐδίωξαν ἃ μὴ θέμις· ἀλλὰ σὺν αὐτοῖς
gains but not pursued which not lawful but with them
ἰχθύσι τῇδ' ὀλίγῃ θῆκαν ὑπὸ ψαμάθῳ.
fish here little placed under sand
ὦ χθών, τὸν ναυηγὸν ἔχεις ὅλον· ἀντὶ δὲ λοιπῆς
O earth the shipwrecked you-hold whole instead and of-remaining
σαρκὸς τοὺς σαρκῶν γευσαμένους ἐπέχεις.
of-flesh the of-flesh having-tasted you-hold

277. ΚΑΛΛΙΜΑΧΟΥ

277 of-Callimachus

Τίς, ξένος ὦ ναυηγέ; Λεόντιχος ἐνθάδε νεκρὸν
Who stranger O shipwrecked Leontichus here corpse
εὗρέ σ' ἐπ' αἰγιαλοῦ, χῶσε δὲ τῷδε τάφῳ,
found you on shore heaped and in-this tomb
δακρύσας ἐπίκηρον ἑὸν βίον· οὐδὲ γὰρ αὐτὸς
having-wept doomed his-own life nor for himself
ἥσυχος, αἰθυίῃ δ' ἶσα θαλασσοπορεῖ.
at-rest to-gull and like sails-the-sea

278. ΑΡΧΙΟΥ ΒΥΖΑΝΤΙΟΥ

278 of-Archias of-Byzantium

Οὐδὲ νέκυς, ναυηγὸς ἐπὶ χθόνα Θῆρις ἐλασθεὶς
Not-even corpse shipwrecked on land Theris driven
κύμασιν, ἀγρύπνων λήσομαι ἠϊόνων.
by-waves of-sleepless I-will-forget of-shores
ἦ γὰρ ἁλιρρήκτοις ὑπὸ δειράσιν, ἀγχόθι πόντου
truly for sea-broken under cliffs near sea
δυσμενέος, ξείνου χερσὶν ἔκυρσα τάφου·
of-hostile of-stranger by-hands I-got tomb
αἰεὶ δὲ βρομέοντα καὶ ἐν νεκύεσσι θαλάσσης
always and roaring even among dead of-sea
ὁ τλήμων ἀΐω δοῦπον ἀπεχθόμενον·
the wretch I-hear thud hated
μόχθων οὐδ' Ἀΐδης με κατεύνασεν, ἡνίκα μοῦνος
of-toils nor Hades me laid-to-rest when alone
οὐδὲ θανὼν λείῃ κέκλιμαι ἡσυχίῃ.
not-even having-died in-smooth I-lie in-quiet

279. ΑΔΗΛΟΝ

279 uncertain

Παῦσαι νηὸς ἐρετμὰ καὶ ἔμβολα τῷδ' ἐπὶ τύμβῳ
Stop of-ship oars and rams this on tomb
αἰὲν ἐπὶ ψυχρῇ ζωγραφέων σποδιῇ.
always on cold painting ash
ναυηγοῦ τὸ μνῆμα. τί τῆς ἐνὶ κύμασι λώβης
of-shipwrecked the memorial why of-the in waves of-outrage
αὖθις ἀναμνῆσαι τὸν κατὰ γῆς ἐθέλεις;
again to-remind the under earth you-wish

280. ΙΣΙΔΩΡΟΥ ΑΙΓΕΑΤΟΥ

280 of-Isidorus of-Aegae

Τὸ χῶμα τύμβος ἐστίν· ἀλλὰ τὼ βόε
The mound tomb is but the oxen
ἐπίσχες οὗτος, τὰν ὕνιν τ' ἀνάσπασον·
hold you the plowshare and draw-back
κινεῖς σποδὸν γάρ. ἐς δὲ τοιαύταν κόνιν
you-stir ashes for into and such dust
μὴ σπέρμα πυρῶν, ἀλλὰ χεῦε δάκρυα.
not seed of-wheat but pour tears

281. ΗΡΑΚΛΕΙΔΟΥ

281 of-Heraclides

Ἄπισχ', ἄπισχε χεῖρας, ὦ γεωπόνε,
Hold hold hands O farmer
μηδ' ἀμφίταμνε τὰν ἐν ἠρίῳ κόνιν.
nor cut-around the in tomb dust
αὐτὰ κέκλαυται βῶλος· ἐκ κεκλαυμένας δ'
itself has-been-wept-over clod from wept-over but
οὔτοι κομάτας ἀναθαλήσεται στάχυς.
surely-not long-haired will-sprout ear

282. ΘΕΟΔΩΡΙΔΟΥ

282 of-Theodoridas

Ναυηγοῦ τάφος εἰμί· σὺ δὲ πλέε· καὶ γὰρ ὅθ' ἡμεῖς
Of-shipwrecked tomb I-am you but sail even for when we
ὠλλύμεθ', αἱ λοιπαὶ νῆες ἐποντοπόρουν.
perished the remaining ships sailed-on

283. ΛΕΩΝΙΔΟΥ

283 of-Leonidas

Τετρηχυῖα θάλασσα, τί μ' οὐκ οἰζυρὰ παθόντα
Rough sea why me not miserable having-suffered
τηλόσ' ἀπὸ ψιλῆς ἔπτυσας ἠϊόνος;
far from bare you-spat shore
ὡς σεῦ μηδ' Ἀΐδαο κακὴν ἐπιειμένος ἀχλὺν
that of-you not-even of-Hades evil having-put-on gloom
Φυλεὺς Ἀμφιμένευς ἧσσον ἐγειτόνεον.
Phyleus of-Amphimenes nearer might-dwell

284. ΑΣΚΛΗΠΙΑΔΟΥ

284 of-Asclepiades

Ὀκτώ μευ πήχεις ἄπεχε, τρηχεῖα θάλασσα,
Eight of-me cubits hold-off rough sea
καὶ κύμαινε, βόα θ' ἡλίκα σοι δύναμις·
and swell roar and as-much-as to-you power
ἢν δὲ τὸν Εὐμάρεω καθέλῃς τάφον, ἄλλο μὲν οὐδὲν
if but the of-Eumares you-pull-down tomb other indeed nothing
κρήγυον, εὑρήσεις δ' ὀστέα καὶ σποδιήν.
useful you-will-find but bones and ash

285. ΓΛΑΥΚΟΥ ΝΙΚΟΠΟΛΙΤΟΥ

285 of-Glaucus of-Nicopolis

Οὐ κόνις οὐδ' ὀλίγον πέτρης βάρος, ἀλλ' Ἐρασίππου
Not dust nor little of-stone weight but of-Erasippus
ἣν ἐσορᾷς αὕτη πᾶσα θάλασσα τάφος·
which you-see this all sea tomb

ὤλετο γὰρ σὺν νηΐ· τὰ δ' ὀστέα ποῦ ποτ' ἐκείνου
perished for with ship the and bones where ever of-him
πύθεται, αἰθυίαις γνωστὰ μόναις ἐνέπειν.
rot to-gulls known alone to-tell

EPIGRAMS 286–299

Nicanor of Tyre lies naked on a foreign shore, his wealth gone, and Lysis is vexed by the noise of the sea. A man is half in the sea and half on land, a shipwrecked man escapes the waves only to be killed by a wolf, and another by a viper. Lysidice falls overboard on her way to her wedding; Lenaeus' mother weeps over his empty tomb, and Nicophemus dies of thirst in a calm. A fisherman's hands are eaten by fish, and old Theris dies peacefully in his hut. Simonides celebrates the victory at Cyprus over the Medes and Phoenicians, Lucius sacks Corinth, a bride and groom die on their wedding night, and Plataea is destroyed by an earthquake.

286. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΟΥ

286 of-Antipater of-Thessalonica

Δύσμορε Νικάνωρ, πολιῷ μεμαραμμένε πόντῳ,
Ill-fated Nicanor by-gray withered by-sea
κεῖσαι δὴ ξείνῃ γυμνὸς ἐπ' ἠϊόνι,
you-lie indeed foreign naked on shore
ἢ σύ γε πρὸς πέτρῃσι· τὰ δ' ὄλβια κεῖνα μέλαθρα
or you indeed by rocks the and prosperous those halls
φροῦδα καὶ ἡ πάσης ἐλπὶς ὄλωλε Τύρου.
gone and the of-all hope has-perished of-Tyre

οὐδέ τί σε κτεάνων ἐρρύσατο· φεῦ, ἐλεεινέ,
nor at-all you of-possessions saved alas pitiable
ὤλεο μοχθήσας ἰχθύσι καὶ πελάγει.
you-perished having-toiled for-fish and for-sea

287. ΑΝΤΙΠΑΤΡΟΥ

287 of-Antipater

Καὶ νέκυν ἀπρήϋντος ἀνιήσει με θάλασσα
Even corpse unappeasable will-vex me sea
Λῦσιν, ἐρημαίῃ κρυπτὸν ὑπὸ σπιλάδι,
Lysis lonely hidden under reef
στρηνὲς ἀεὶ φωνεῦσα παρ᾽ οὔατι, καὶ παρὰ κωφὸν
harsh always sounding by ear and by deaf
σῆμα. τί μ᾽, ὤνθρωποι, τῇδε παρῳκίσατε,
tomb why me O-men here set-beside
ἣ πνοιῆς χήρωσε τὸν οὐκ ἐπὶ φορτίδι νηΐ
she-who of-breath bereaved the not on cargo ship
ἔμπορον, ἀλλ᾽ ὀλίγης ναυτίλον εἰρεσίης
merchant but of-small sailor of-rowing
θηκαμένη ναυηγόν; ὁ δ᾽ ἐκ πόντοιο ματεύων
having-made shipwrecked I and from sea seeking
ζωήν, ἐκ πόντου καὶ μόρον εἱλκυσάμην.
life from sea also doom drew

288. ΤΟΥ ΑΥΤΟΥ

288 of-the same

Οὐδετέρης ὅλος εἰμὶ θανὼν νέκυς, ἀλλὰ θάλασσα
Of-neither whole I-am having-died corpse but sea
καὶ χθὼν τὴν ἀπ᾽ ἐμεῦ μοῖραν ἔχουσιν ἴσην.
and earth the from me portion have equal
σάρκα γὰρ ἐν πόντῳ φάγον ἰχθύες· ὀστέα δ᾽ αὖτε
flesh for in sea ate fish bones and in-turn
βέβρασται ψυχρῇ τῇδε παρ᾽ ἠϊόνι.
have-been-cast-up cold this by shore

289. ΑΝΤΙΠΑΤΡΟΥ ΜΑΚΕΔΟΝΟΣ

289 of-Antipater of-Macedon

Ἀνθέα τὸν ναυηγὸν ἐπὶ στόμα Πηνειοῖο
Anthes the shipwrecked at mouth of-Peneus
νυκτὸς ὑπὲρ βαιῆς νηξάμενον σανίδος,
of-night upon small having-swum plank
μούνιος ἐκ θάμνοιο θορὼν λύκος, ἄσκοπον ἄνδρα,
solitary from thicket having-leapt wolf unwary man
ἔκτανεν. ὦ γαίης κύματα πιστότερα.
killed O than-land waves more-faithful

290. ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ

290 of-Statyllius of-Flaccus

Λαίλαπα καὶ μανίην ὀλοῆς προφυγόντα θαλάσσης
Storm and frenzy of-deadly having-escaped of-sea
ναυηγόν, Λιβυκαῖς κείμενον ἐν ψαμάθοις,
shipwrecked Libyan lying on sands

οὐχ ἑκὰς ἠϊόνων, πυμάτῳ βεβαρημένον ὕπνῳ,
not far from-shores by-last weighed-down by-sleep
γυμνόν, ἀπὸ στυγερῆς ὡς κάμε ναυφθορίης,
naked from hateful as he-was-worn-out shipwreck
ἔκτανε λυγρὸς ἔχις. τί μάτην πρὸς κύματ' ἐμόχθει,
killed baneful viper why in-vain against waves did-he-toil
τὴν ἐπὶ γῆς φεύγων μοῖραν ὀφειλομένην;
the on land fleeing portion owed

291. ΞΕΝΟΚΡΙΤΟΥ ΡΟΔΙΟΥ

291 of-Xenocritus of-Rhodes

Χαῖταί σου στάζουσιν ἔθ' ἁλμυρά, δύσμορε κούρη,
Hair your drips still salt ill-fated girl
ναυηγέ, φθιμένης εἰν ἁλί, Λυσιδίκη.
shipwrecked having-perished in sea Lysidice
ἦ γάρ, ὀρινομένου πόντου, δείσασα θαλάσσης
truly for of-rising of-sea having-feared of-sea
ὕβριν ὑπὲρ κοίλου δούρατος ἐξέπεσες.
violence over hollow timber you-fell-out
καὶ σὸν μὲν φωνεῖ τάφος οὔνομα, καὶ χθόνα Κύμην,
and your indeed proclaims tomb name and land Cyme
ὀστέα δὲ ψυχρῷ κλύζετ' ἐπ' αἰγιαλῷ,
bones but cold are-washed on shore
πικρὸν Ἀριστομάχῳ γενέτῃ κακόν, ὅς σε κομίζων
bitter for-Aristomachus for-father evil who you bringing
ἐς γάμον, οὔτε κόρην ἤγαγεν οὔτε νέκυν.
to marriage neither girl brought nor corpse

292. ΘΕΩΝΟΣ ΑΛΕΞΑΝΔΡΕΩΣ

292 of-Theon of-Alexandria

Ἀλκυόσιν, Ληναῖε, μέλεις τάχα· κωφὰ δὲ μήτηρ
To-halcyons Lenaeus you-are-a-care perhaps deaf and mother
μύρεθ' ὑπὲρ κρυεροῦ δυρομένη σε τάφου.
weeps over cold lamenting you tomb

293. ΙΣΙΔΩΡΟΥ ΑΙΓΕΑΤΟΥ

293 of-Isidorus of-Aegae

Οὐ χεῖμα Νικόφημον, οὐκ ἄστρων δύσις
Not storm Nicophemus not of-stars setting
ἁλὸς Λιβύσσης κύμασιν κατέκλυσεν·
of-sea Libyan with-waves drowned
ἀλλ' ἐν γαλήνῃ, φεῦ τάλας, ἀνηνέμῳ
but in calm alas wretch windless
πλόῳ πεδηθείς, ἐφρύγη δίψευς ὕπο.
in-voyage fettered was-parched of-thirst by
καὶ τοῦτ' ἀήτεων ἔργον· ἆ πόσον κακὸν
and this of-winds work ah how-great evil
ναύταισιν ἢ πνέοντες ἢ μεμυκότες.
for-sailors either blowing or closed-mouthed

294. ΤΥΛΛΙΟΥ ΛΑΥΡΕΑ

294 of-Tullius of-Laureas

Γρυνέα τὸν πρέσβυν, τὸν ἁλιτρύτου ἀπὸ κύμβης
Gryneus the old-man the sea-worn from boat
ζῶντα, τὸν ἀγκίστροις καὶ μογέοντα λίνοις,
living the by-hooks and toiling by-nets

ἐκ δεινοῦ τρηχεῖα Νότου κατέδυσε θάλασσα,
from terrible rough of-South-Wind sank sea
ἔβρασε δ' ἐς κροκάλην πρώϊον ἠϊόνα,
cast and onto shingle at-dawn shore
χεῖρας ἀποβρωθέντα. τίς οὐ νόον ἰχθύσιν εἴποι
hands eaten-off who not mind to-fish would-say
ἔμμεναι, οἳ μούνας, αἷς ὀλέκοντο, φάγον;
to-be who only with-which they-were-destroyed ate

295. ΛΕΩΝΙΔΑ ΤΑΡΕΝΤΙΝΟΥ

295 of-Leonidas of-Tarentum

Θῆριν τὸν τριγέροντα, τὸν εὐάγρων ἀπὸ κύρτων
Theris the thrice-old the well-catching from traps
ζῶντα, τὸν αἰθυίης πλείονα νηξάμενον,
living the than-gull more having-swum
ἰχθυσιληϊστῆρα, σαγηνέα, χηραμοδύτην,
fish-robber net-fisher hole-diver
οὐχὶ πολυσκάλμου πλώτορα ναυτιλίης,
not of-many-thole-pinned sailor of-seafaring
ἔμπης οὔτ' Ἀρκτοῦρος ἀπώλεσεν, οὔτε καταιγὶς
nevertheless neither Arcturus destroyed nor squall
ἤλασε τὰς πολλὰς τῶν ἐτέων δεκάδας·
drove the many of-the years decades
ἀλλ' ἔθαν' ἐν καλύβῃ σχοινίτιδι, λύχνος ὁποῖα,
but he-died in but rush-made lamp like
τῷ μακρῷ σβεσθεὶς ἐν χρόνῳ αὐτόματος.
in-the long being-quenched in time of-itself

σῆμα δὲ τοῦτ᾽ οὐ παῖδες ἐφήρμοσαν, οὐδ᾽ ὁμόλεκτρος,
tomb and this not children fitted nor wife
ἀλλὰ συνεργατίνης ἰχθυβόλων θίασος.
but fellow-working of-fishermen company

296. ΣΙΜΩΝΙΔΟΥ ΤΟΥ ΚΗΙΟΥ

296 of-Simonides the of-Ceos

Ἐξ οὗ γ᾽ Εὐρώπην Ἀσίας δίχα πόντος ἔνειμε,
From when indeed Europe from-Asia apart sea divided
καὶ πόλεμον λαῶν θοῦρος Ἄρης ἐφέπει,
and war of-peoples impetuous Ares directs
οὐδαμά πω κάλλιον ἐπιχθονίων γένετ᾽ ἀνδρῶν
never yet finer of-earthly was of-men
ἔργον ἐν ἠπείρῳ καὶ κατὰ πόντον ἅμα.
deed on mainland and on sea together
οἵδε γὰρ ἐν Κύπρῳ Μήδων πολλοὺς ὀλέσαντες,
these for in Cyprus of-Medes many having-destroyed
Φοινίκων ἑκατὸν ναῦς ἕλον ἐν πελάγει
of-Phoenicians hundred ships took on sea
ἀνδρῶν πληθούσας· μέγα δ᾽ ἔστενεν Ἀσὶς ὑπ᾽ αὐτῶν
with-men full greatly and groaned Asia by them
πληγεῖσ᾽ ἀμφοτέραις χερσὶ κράτει πολέμου.
struck with-both with-hands by-might of-war

297. ΠΟΛΥΣΤΡΑΤΟΥ

297 of-Polystratus

Τὸν μέγαν Ἀκροκόρινθον Ἀχαιϊκόν, Ἑλλάδος ἄστρον,
The great Acrocorinth Achaean of-Hellas star
καὶ διπλῆν Ἰσθμοῦ σύνδρομον ἠϊόνα
and double of-Isthmus running-together shore
Λεύκιος ἐστυφέλιξε· δοριπτοίητα δὲ νεκρῶν
Lucius smote spear-terrified and of-corpses
ὀστέα σωρευθεὶς εἷς ἐπέχει σκόπελος.
bones heaped one holds crag
τοὺς δὲ δόμον Πριάμοιο πυρὶ πρήσαντας Ἀχαιοὺς
the and house of-Priam with-fire having-burned Achaeans
ἀκλαύστους κτερέων νόσφισαν Αἰνεάδαι.
unwept of-funeral-rites deprived Aeneas'-sons

298. ΑΔΕΣΠΟΤΟΝ

298 anonymous

Αἰαῖ, τοῦτο κάκιστον, ὅταν κλαίωσι θανόντα
Alas this worst when they-weep having-died
νυμφίον ἢ νύμφην· ἡνίκα δ' ἀμφοτέρους,
bridegroom or bride when but both
Εὔπολιν ὡς ἀγαθήν τε Λυκαίνιον, ὧν ὑμέναιον
Eupolis as good and Lycaenion whose wedding-song
ἔσβεσεν ἐν πρώτῃ νυκτὶ πεσὼν θάλαμος,
quenched on first night having-fallen chamber
οὐκ ἄλλῳ τόδε κῆδος ἰσόρροπον, ᾧ σὺ μὲν υἱόν,
not for-another this grief equal-weighing for-whom you indeed son
Νῖκι, σὺ δ' ἔκλαυσας, Θεύδικε, θυγατέρα.
Nicis you and wept Theudicus daughter

299. ΝΙΚΟΜΑΧΟΥ

299 of-Nicomachus

Ἄδ' ἔσθ' — ἅδε Πλάταια τί τοι λέγω; —
This is this Plataea what to-you I-say
ἅν ποτε σεισμὸς
which once earthquake
ἐλθὼν ἐξαπίνας κάββαλε πανσυδίῃ·
having-come suddenly threw-down all-together
λείφθη δ' αὖ μοῦνον τυτθὸν γένος· οἱ δὲ θανόντες
was-left and again only small race the and having-died
σᾶμ' ἐρατὰν πάτραν κείμεθ' ἐφεσσάμενοι.
tomb lovely fatherland we-lie having-put-on

Pythonax and his brother died young, and Simonides praises the men who fell with Leonidas. Nicodicus is mourned by his friends and city, the infant Cleodemus is swept from a ship by the north wind, and Hippaemon's horse, dog, and servant are named with him. A fisherman is burned in his own boat, and Themistocles' mother was a Thracian. In Paul's dialogue a dead man begins to give his name and birth, and the passer-by asks what it matters; a child of five does not regret his short life, and a murderer buries his victim. On Lot's wife Agathias writes that she is her own corpse and tomb, and Asinius Quadratus writes of Sulla's victims that they died by treachery. Then the Timon epigrams: the man-hater curses those who pass and wishes thorns on his grave, and the poet warns Cerberus of his bite. Earth is asked to rest lightly on old Amyntichus.

300. ΣΙΜΩΝΙΔΟΥ

300 of-Simonides

Ἐνθάδε Πυθώνακτα κασίγνητόν τε κέκευθεν
Here Pythonax brother and has-hidden
γαῖ', ἐρατῆς ἥβης πρὶν τέλος ἄκρον ἰδεῖν.
earth of-lovely of-youth before end highest to-see
μνῆμα δ' ἀποφθιμένοισι πατὴρ Μεγάριστος ἔθηκεν
memorial and for-the-dead father Megaristus set
ἀθάνατον θνητοῖς παισὶ χαριζόμενος.
immortal to-mortal to-children granting

301. ΤΟΥ ΑΥΤΟΥ

301 of-the same

Εὐκλέας αἶα κέκευθε, Λεωνίδα, οἳ μετὰ σεῖο
Glorious earth has-hidden Leonidas who with you
τῇδ' ἔθανον, Σπάρτης εὐρυχόρου βασιλεῦ,
here died of-Sparta of-spacious king
πλείστων δὴ τόξων τε καὶ ὠκυπόδων σθένος ἵππων
of-very-many indeed of-bows both and of-swift-footed might of-horses
Μηδείων ἀνδρῶν δεξάμενοι πολέμῳ.
of-Median of-men having-received in-war

302. ΤΟΥ ΑΥΤΟΥ

302 of-the same

Τῶν αὐτοῦ τις ἕκαστος ἀπολλυμένων ἀνιᾶται·
Of-the his-own one each perishing grieves
Νικόδικον δὲ φίλοι καὶ πόλις ἥδε †πολή.
Nicodicus but friends and city this much

303. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

303 of-Antipater of-Sidon

Τὸν μικρὸν Κλεόδημον ἔτι ζώοντα γάλακτι,
The small Cleodemus still living on-milk
ἴχνος ὑπὲρ τοίχων νηὸς ἐρεισάμενον,
foot on walls of-ship having-set
ὁ Θρήϊξ ἐτύμως Βορέης βάλεν εἰς ἁλὸς οἶδμα,
the Thracian truly Boreas threw into of-sea swell
κῦμα δ' ἀπὸ ψυχὴν ἔσβεσε νηπιάχου.
wave and out life quenched of-infant

Ἰνοῖ, ἀνοικτίρμων τις ἔφυς θεός, ἢ Μελικέρτεω
Ino pitiless some you-were goddess who of-Melicertes
ἥλικος οὐκ Ἀΐδην πικρὸν ἀπηλάσαο.
of-age-mate not Hades bitter warded-off

304. ΠΕΙΣΑΝΔΡΟΥ ΡΟΔΙΟΥ

304 of-Pisander of-Rhodes

Ἀνδρὶ μὲν Ἱππαίμων ὄνομ᾽ ἦν, ἵππῳ δὲ Πόδαργος,
To-man indeed Hippaemon name was to-horse and Podargus
καὶ κυνὶ Λήθαργος, καὶ θεράποντι Βάβης,
and to-dog Lethargus and to-servant Babes
Θεσσαλός, ἐκ Κρήτης, Μάγνης γένος, Αἵμονος υἱός·
Thessalian from Crete Magnesian by-race of-Haemon son
ὤλετο δ᾽ ἐν προμάχοις ὀξὺν Ἄρη συνάγων.
perished and among front-fighters sharp Ares joining

305. ΑΔΔΑΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ

305 of-Addaeus of-Mitylene

Ὁ γριπεὺς Διότιμος, ὁ κύμασιν ὁλκάδα πιστὴν
The fisherman Diotimus the on-waves boat faithful
κἠν χθονὶ τὴν αὐτὴν οἶκον ἔχων πενίης,
and-on land the same house having of-poverty
νήγρετον ὑπνώσας Ἀΐδαν τὸν ἀμείλιχον ἵκτο
unwaking having-slept Hades the implacable reached
αὐτερέτης, ἰδίῃ νηΐ κομιζόμενος·
self-rowing in-his-own in-ship being-carried

ἣν γὰρ ἔχε ζωῆς παραμύθιον, ἔσχεν ὁ πρέσβυς
which for he-had of-life solace had the old-man
καὶ φθίμενος πύματον πυρκαϊῆς ὄφελος.
also having-perished last of-pyre help

306. ΑΔΕΣΠΟΤΟΝ

306 anonymous

Ἀβρότονον Θρήϊσσα γυνὴ πέλον· ἀλλὰ τεκέσθαι
Habrotonon Thracian woman I-was but to-have-borne
τὸν μέγαν Ἕλλησίν φημι Θεμιστοκλέα.
the great for-Greeks I-say Themistocles

307. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ

307 of-Paul the-Silentiary

— Οὔνομά μοι. — Τί δὲ τοῦτο; — Πατρὶς δέ μοι. —
Name to-me What but this Fatherland and to-me
Ἐς τί δὲ τοῦτο;
To what but this
— Κλεινοῦ δ' εἰμὶ γένους. — Εἰ γὰρ ἀφαυροτάτου;
Of-famous and I-am of-race If for of-most-obscure
— Ζήσας δ' ἐνδόξως ἔλιπον βίον. — Εἰ γὰρ ἀδόξως;
Having-lived and gloriously I-left life If for ingloriously
— Κεῖμαι δ' ἐνθάδε νῦν. — Τίς τίνι ταῦτα λέγεις;
I-lie and here now Who to-whom these you-say

308. ΛΟΥΚΙΑΝΟΥ

308 of-Lucian

Παῖδά με πενταέτηρον, ἀκηδέα θυμὸν ἔχοντα,
Child me five-year-old carefree heart having
νηλειὴς Ἀΐδης ἥρπασε Καλλίμαχον.
pitiless Hades snatched Callimachus
ἀλλά με μὴ κλαίοις· καὶ γὰρ βιότοιο μετέσχον
but me not may-you-weep also for of-life I-shared
παύρου, καὶ παύρων τῶν βιότοιο κακῶν.
little and few of-the of-life of-ills

309. ΑΔΕΣΠΟΤΟΝ

309 anonymous

Ἑξηκοντούτης Διονύσιος ἐνθάδε κεῖμαι,
Sixty-year-old Dionysius here I-lie
Ταρσεύς, μὴ γήμας· αἴθε δὲ μηδ' ὁ πατήρ.
of-Tarsus not having-married would-that and not-even the father

310. ΑΔΕΣΠΟΤΟΝ

310 anonymous

Θάψεν ὅ με κτείνας κρύπτων φόνον· εἰ δέ με τύμβῳ
Buried who me having-killed hiding murder if and me with-tomb
δωρεῖται, τοίης ἀντιτύχοι χάριτος.
he-presents of-such may-be-meet-in-return of-favor

Εἰς τὴν γυναῖκα Λώτ

On the wife of-Lot

311. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

311 of-Agathias Scholasticus

Ὁ τύμβος οὗτος ἔνδον οὐκ ἔχει νεκρόν·
The tomb this within not holds corpse
ὁ νεκρὸς οὗτος ἐκτὸς οὐκ ἔχει τάφον,
the corpse this outside not holds tomb
ἀλλ᾽ αὐτὸς αὑτοῦ νεκρός ἐστι καὶ τάφος.
but itself of-itself corpse is and tomb

Εἰς τοὺς ἀναιρεθέντας ὑπὸ τοῦ τῶν Ῥωμαίων ὑπάτου

On the slain by the of-the Romans consul

Σύλα

Sulla

312. ΑΣΙΝΙΟΥ ΚΟΥΑΔΡΑΤΟΥ

312 of-Asinius Quadratus

Οἱ πρὸς Ῥωμαίους δεινὸν στήσαντες Ἄρηα
They against Romans terrible having-set-up Ares
κεῖνται, ἀριστείης σύμβολα δεικνύμενοι·
lie of-valor tokens showing
οὐ γάρ τις μετὰ νῶτα τυπεὶς θάνεν, ἀλλ᾽ ἅμα πάντες
not for anyone in back struck died but together all
ὤλοντο κρυφίῳ καὶ δολερῷ θανάτῳ.
perished by-secret and by-treacherous by-death

Εἰς Τίμωνα τὸν μισάνθρωπον

On Timon the man-hater

313. ΑΔΕΣΠΟΤΟΝ

313 anonymous

Ἐνθάδ' ἀπορρήξας ψυχὴν βαρυδαίμονα κεῖμαι·
Here having-broken-off life heavy-fated I-lie
τοὔνομα δ' οὐ πεύσεσθε, κακοὶ δὲ κακῶς ἀπόλοισθε.
the-name but not you-will-learn wicked and wickedly may-you-perish

Εἰς τὸν αὐτὸν Τίμωνα

On the same Timon

314. ΠΤΟΛΕΜΑΙΟΥ

314 of-Ptolemy

Μὴ πόθεν εἰμὶ μάθῃς, μηδ' οὔνομα· πλὴν ὅτι θνήσκειν
Not whence I-am learn nor name except that to-die
τοὺς παρ' ἐμὴν στήλην ἐρχομένους ἐθέλω.
the by my stele coming I-wish

Εἰς τὸν αὐτὸν Τίμωνα

On the same Timon

315. ΖΗΝΟΔΟΤΟΥ, οἱ δὲ ΡΙΑΝΟΥ

315 of-Zenodotus the(-others) and of-Rhianus

Τρηχεῖαν κατ' ἐμεῦ, ψαφαρὴ κόνι, ῥάμνον ἑλίσσοις
Rough over me crumbling dust buckthorn may-you-twine
πάντοθεν, ἢ σκολιῆς ἄγρια κῶλα βάτου,
on-all-sides or of-crooked wild limbs of-bramble

ὡς ἐπ᾽ ἐμοὶ μηδ᾽ ὄρνις ἐν εἴαρι κοῦφον ἐρείδοι
that on me not-even bird in spring light may-set
ἴχνος, ἐρημάζω δ᾽ ἥσυχα κεκλιμένος.
foot I-am-solitary and quietly reclining
ἦ γὰρ ὁ μισάνθρωπος, ὁ μηδ᾽ ἀστοῖσι φιληθεὶς
truly for the man-hater the not-even by-citizens loved
Τίμων οὐδ᾽ Ἀΐδῃ γνήσιός εἰμι νέκυς.
Timon not-even to-Hades genuine I-am corpse

Εἰς τὸν αὐτὸν ὁμοίως
On the same likewise

316. ΛΕΩΝΙΔΑ ἢ ΑΝΤΙΠΑΤΡΟΥ

316 of-Leonidas or of-Antipater

Τὴν ἐπ᾽ ἐμεῦ στήλην παραμείβεο, μήτε με χαίρειν
The over me stele pass-by neither me to-fare-well
εἰπών, μήθ᾽ ὅστις, μὴ τίνος ἐξετάσας·
having-said nor who nor of-whom having-asked
ἢ μὴ τὴν ἀνύεις τελέσαις ὁδόν· ἢν δὲ παρέλθῃς
or not which you-accomplish may-you-finish road if but you-pass
σιγῇ, μηδ᾽ οὕτως ἢν ἀνύεις τελέσαις.
in-silence not-even so which you-accomplish may-you-finish

Εἰς τὸν αὐτὸν Τίμωνα

On the same Timon

317. ΚΑΛΛΙΜΑΧΟΥ

317 of-Callimachus

— Τίμων (οὐ γὰρ ἔτ' ἐσσί), τί τοι,

Timon not for still you-are what to-you

σκότος ἢ φάος, ἐχθρόν;

darkness or light hateful

— Τὸ σκότος· ὑμέων γὰρ πλείονες εἰν Ἀΐδῃ.

The darkness of-you for more in Hades

Εἰς τὸν αὐτὸν Τίμωνα

On the same Timon

318. ΤΟΥ ΑΥΤΟΥ

318 of-the same

Μὴ χαίρειν εἴπῃς με, κακὸν κέαρ, ἀλλὰ πάρελθε

Not to-fare-well say me wicked heart but pass-by

ἶσον ἐμοὶ χαίρειν ἐστὶ τὸ μὴ σὲ πελᾶν.

equal to-me to-fare-well is the not you to-come-near

Εἰς τὸν αὐτὸν Τίμωνα

On the same Timon

319. ΑΔΗΛΟΝ

319 uncertain

Καὶ νέκυς ὢν Τίμων ἄγριος· σὺ δὲ γ', ὦ πυλαωρὲ

Even corpse being Timon savage you but indeed O gatekeeper

Πλούτωνος, τάρβει, Κέρβερε, μή σε δάκῃ.

of-Pluto fear Cerberus lest you he-bite

Εἰς τὸν αὐτὸν Τίμωνα μισέλληνα

On the same Timon Greek-hater

320. ΗΓΗΣΙΠΠΟΥ

320 of-Hegesippus

Ὀξεῖαι πάντῃ περὶ τὸν τάφον εἰσὶν ἄκανθαι
Sharp everywhere around the tomb are thorns
καὶ σκόλοπες· βλάψεις τοὺς πόδας, ἢν προσίῃς·
and stakes you-will-hurt the feet if you-approach
Τίμων μισάνθρωπος ἐνοικέω· ἀλλὰ πάρελθε,
Timon man-hater I-dwell but pass-by
οἰμώζειν εἴπας πολλά, πάρελθε μόνον.
to-howl having-said much pass-by only

321. ΑΔΕΣΠΟΤΟΝ

321 anonymous

Γαῖα φίλη, τὸν πρέσβυν Ἀμύντιχον ἔνθεο κόλποις,
Earth dear the old-man Amyntichus put in-bosom
πολλῶν μνησαμένη τῶν ἐπὶ σοὶ καμάτων.
of-many mindful of-the on you of-toils
καὶ γὰρ ἀειπέταλόν σοι ἐνεστήριξεν ἐλαίην
and for ever-leafed for-you planted olive
πολλάκι, καὶ Βρομίου κλήμασιν ἠγλάϊσεν,
often also of-Bromius with-vine-shoots adorned
καὶ Δηοῦς ἔπλησε, καὶ ὕδατος αὔλακας ἕλκων
and of-Deo filled also of-water furrows drawing
θῆκε μὲν εὐλάχανον, θῆκε δ' ὀπωροφόρον.
made indeed rich-in-vegetables made and fruit-bearing

ἀνθ᾽ ὧν σὺ πρηεῖα κατὰ κροτάφου πολιοῖο
for which you gently over temple gray
κεῖσο, καὶ εἰαρινὰς ἀνθοκόμει βοτάνας.
lie and spring make-blossom herbs

EPIGRAMS 322–338

Idomeneus and Meriones lie together, two brothers who shared a birthday die on one day, and a famous woman lies here who loosed her girdle for one man only. Sardanapalus has only what he ate and drank, and Crates only what he learned. Casander of Larissa dies at twenty-six, Myrtas the drinker has a jar on her tomb, and Maximus builds a tomb for himself and his wife Calepodia. Inscriptions from Phrygia follow: a wife chaste to her husband Phroures, a beast-keeper killed by Bacche, and a tomb set up for a mother by Nicomachus and Dione. From Cyzicus, Fronto's son, dead before his marriage, leaves his mother Politta in grief, and she is consoled. An old beggar crawls into his tomb before dying, and Harmonia and Pericles the hunter are mourned.

322. ΑΔΕΣΠΟΤΟΝ

322 anonymous

Κνωσίου Ἰδομενῆος ὅρα τάφον· αὐτὰρ ἐγώ τοι
Of-Cnossian of-Idomeneus see tomb but I you-know
πλησίον ἵδρυμαι Μηριόνης ὁ Μόλου.
near am-set Meriones the of-Molus

323. ΑΔΕΣΠΟΤΟΝ

323 anonymous

Εἷς δύ' ἀδελφειοὺς ἐπέχει τάφος· ἓν γὰρ ἐπέσχον
One two brothers holds tomb one for they-held
ἦμαρ καὶ γενεῆς οἱ δύο καὶ θανάτου.
day both of-birth the two and of-death

324. ΑΔΕΣΠΟΤΟΝ

324 anonymous

Ἅδ' ἐγὼ ἁ περίβωτος ὑπὸ πλακὶ τῇδε τέθαμμαι,
Here I the far-famed under slab this am-buried
μούνῳ ἑνὶ ζώναν ἀνέρι λυσαμένα.
to-only one man girdle having-loosed

Εἰς τὸν Σαρδανάπαλλον

On — Sardanapalus

325. ΑΔΕΣΠΟΤΟΝ

325 anonymous

Τόσσ' ἔχω ὅσσ' ἔφαγον καὶ ἔπιον, καὶ μετ' ἐρώτων
So-much I-have as-much-as I-ate and drank and with loves
τέρπν' ἐδάην· τὰ δὲ πολλὰ καὶ ὄλβια πάντα λέλειπται.
delights I-learned the but many and prosperous all are-left

326. ΚΡΑΤΗΤΟΣ ΘΗΒΑΙΟΥ

326 of-Crates of-Thebes

Ταῦτ᾽ ἔχω ὅσσ᾽ ἔμαθον καὶ ἐφρόντισα,
These I-have as-much-as I-learned and pondered
καὶ μετὰ Μουσῶν
and with Muses
σέμν᾽ ἐδάην· τὰ δὲ πολλὰ καὶ ὄλβια τῦφος ἔμαρψεν.
noble I-learned the but many and prosperous vanity seized

Εἰς Κάσανδρον τὸν ὡραῖον ἐν Λαρίσσῃ κείμενον
On Casander the lovely in Larissa lying

327. ΑΔΕΣΠΟΤΟΝ

327 anonymous

Μὴ σύγε θνητὸς ἐὼν ὡς ἀθάνατός τι λογίζου·
Not you-at-least mortal being as immortal anything reckon
οὐδὲν γὰρ βιότου πιστὸν ἐφημερίοις,
nothing for of-life sure for-creatures-of-a-day
εἰ καὶ τόνδε Κάσανδρον ἔχει σορὸς ἥδε θανόντα,
if even this Casander holds coffin this having-died
ἄνθρωπον φύσεως ἄξιον ἀθανάτου.
man of-nature worthy of-immortal

328. ΑΔΕΣΠΟΤΟΝ

328 anonymous

Τίς λίθος οὐκ ἐδάκρυσε, σέθεν φθιμένοιο, Κάσανδρε;
What stone not wept of-you having-perished Casander
τίς πέτρος, ὃς τῆς σῆς λήσεται ἀγλαΐης;
what rock which the your will-forget splendor

ἀλλά σε νηλειὴς καὶ βάσκανος ὤλεσε δαίμων
but you pitiless and envious destroyed god
ἡλικίην ὀλίγην εἴκοσιν ἓξ ἐτέων,
age small twenty six of-years
ὃς χήρην ἄλοχον θῆκεν, μογερούς τε τοκῆας
who widowed wife made wretched and parents
γηραλέους, στυγερῷ πένθεϊ τειρομένους.
aged by-hateful by-grief being-worn

329. ΑΛΛΟ

329 another

Μυρτάδα τὴν ἱεραῖς με Διωνύσου παρὰ ληνοῖς
Myrtas the by-holy me of-Dionysus by vats
ἄφθονον ἀκρήτου σπασσαμένην κύλικα,
abundant of-unmixed having-drained cup
οὐ κεύθει φθιμένην βαιὴ κόνις· ἀλλὰ πίθος μοι,
not hides having-perished small dust but jar to-me
σύμβολον εὐφροσύνης, τερπνὸς ἔπεστι τάφος.
token of-good-cheer pleasant is-upon tomb

330. ΑΛΛΟ

330 another

Ἐν τῷ Δορυλαίῳ
In — Dorylaeum

Τὴν σορόν, ἣν ἐσορᾷς, ζῶν Μάξιμος αὐτὸς ἑαυτῷ
The coffin which you-see living Maximus himself for-himself
θῆκεν, ὅπως ναίῃ παυσάμενος βιότου·
set that he-might-dwell having-ceased from-life

σύν τε, γυναικὶ Καληποδίῃ τεῦξεν τόδε σῆμα,
with and wife Calepodia made this tomb
ὡς ἵνα τὴν στοργὴν κὴν φθιμένοισιν ἔχοι.
so that the love even-among the-dead he-might-have

Εἰς Ὤρακα ἐν Φρυγίᾳ

On Oraca in Phrygia

331. ΑΛΛΟ

331 another

Τύμβον ἐμοὶ τοῦτον γαμέτης δωρήσατο Φρούρης,
Tomb for-me this husband gave Phroures
ἄξιον ἡμετέρης εὐσεβίης στέφανον·
worthy of-our of-piety crown
λείπω δ' ἐν θαλάμοις γαμέτου χορὸν εὐκλέα παίδων,
I-leave and in chambers of-husband band glorious of-children
πιστὸν ἐμοῦ βιότου μάρτυρα σωφροσύνης.
faithful of-my of-life witness of-chastity
μουνόγαμος θνήσκω, δέκα δ' ἐν ζωοῖσιν ἔτι ζῶ,
once-married I-die ten and in living still I-live
νυμφικὸν εὐτεκνίης καρπὸν ἀειραμένη.
bridal of-fair-offspring fruit having-raised

Εἰς Ἀκμονίαν

On Acmonia

332. ΑΛΛΟ

332 another

Αἰνόμορον Βάκχη με κατέκτανε θηροτρόφον πρίν,
Ill-fated Bacche me killed beast-keeper before
οὐ κρίσει ἐν σταδίοις, γυμνασίαις δὲ κλυταῖς.
not in-contest in stadiums in-exercises but famous

Εἰς Ἀδριανοὺς ἐν Φρυγίᾳ

On Hadriani in Phrygia

333. ΑΛΛΟ

333 another

Μηδὲ καταχθονίοις μετὰ δαίμοσιν ἄμμορος εἴης
Nor underworld among gods without-share may-you-be
ἡμετέρων δώρων, ὧν σ' ἐπέοικε τυχεῖν,
of-our of-gifts which you it-befits to-get
ἀμμία, οὕνεκα Νικόμαχος θυγάτηρ τε Διώνη
mother because Nicomachus daughter and Dione
τύμβον καὶ στήλην σὴν ἐθέμεσθα χάριν.
tomb and stele your we-set for-sake

Εὑρέθη ἐν Κυζίκῳ

Was-found in Cyzicus

334. ΑΛΛΟ

334 another

Νηλεὲς ὦ δαῖμον, τί δέ μοι καὶ φέγγος ἔδειξας
Pitiless O god why and to-me even light you-showed
εἰς ὀλίγων ἐτέων μέτρα μινυνθάδια;
to of-few of-years measures short
ἢ ἵνα λυπήσῃς δι' ἐμὴν βιότοιο τελευτὴν
or that you-might-grieve through my of-life end
μητέρα δειλαίην δάκρυσι καὶ στοναχαῖς,
mother wretched with-tears and with-groans
ἥ μ' ἔτεχ', ἥ μ' ἀτίτηλε, καὶ ἣ πολὺ μείζονα πατρὸς
who me bore who me reared and who much greater than-father
φροντίδα παιδείης ἤνυσεν ἡμετέρης;
care of-education accomplished of-our
ὃς μὲν γὰρ τυτθόν τε καὶ ὀρφανὸν ἐν μεγάροισι
he indeed for small both and orphan in halls
κάλλιπεν· ἡ δ' ἐπ' ἐμοὶ πάντας ἔτλη καμάτους·
left she and over me all endured toils
ἦ μὲν ἐμοὶ φίλον ἦεν ἐφ' ἁγνῶν ἡγεμονήων
truly indeed to-me dear was before pure governors
ἐμπρεπέμεν μύθοις ἀμφὶ δικασπολίας·
to-be-distinguished in-speeches about judging
ἀλλά μοι οὐ γενύων ὑπεδέξατο κούριμον ἄνθος
but me not of-cheeks received youthful bloom
ἡλικίης ἐρατῆς, οὐ γάμον, οὐ δαΐδας·
of-age lovely not marriage not torches
οὐχ ὑμέναιον ἄεισε περικλυτόν, οὐ τέκος εἶδε,
not wedding-song sang famous not child saw

δύσποτμος, ἐκ γενεῆς λείψανον ἡμετέρης,
ill-fated of race remnant of-our
τῆς πολυθρηνήτου· λυπεῖ δέ με καὶ τεθνεῶτα
of-the much-lamented grieves and me even dead
μητρὸς Πωλίττης πένθος ἀεξόμενον,
of-mother of-Politta grief growing
Φρόντωνος γοεραῖς ἐπὶ φροντίσιν, ἣ τέκε παῖδα
of-Fronto mournful in cares who bore son
ὠκύμορον, κενεὸν χάρμα φίλης πατρίδος.
swift-fated empty joy of-dear of-fatherland

335. ΑΛΛΟ

335 another

— Πώλιττα, τλῆθι πένθος, εὖνασον δάκρυ.
Politta endure grief lay-to-rest tear
πολλαὶ θανόντας εἶδον υἱεῖς μητέρες.
many having-died saw sons mothers
— Ἀλλ᾽ οὐ τοιούτους τὸν τρόπον καὶ τὸν βίον,
But not such the manner and the life
οὐ μητέρων σέβοντας ἡδίστην θέαν.
not of-mothers revering sweetest sight
— Τί περισσὰ θρηνεῖς; τί δὲ μάτην ὀδύρεαι;
Why excessively you-lament why and in-vain you-mourn
εἰς κοινὸν Ἅδην πάντες ἥξουσι βροτοί.
to common Hades all will-come mortals

336. ΑΛΛΟ

336 another

Γήραϊ καὶ πενίῃ τετρυμένος, οὐδ' ὀρέγοντος
By-old-age and by-poverty worn nor offering
οὐδενὸς ἀνθρώπου δυστυχίης ἔρανον,
any of-man of-misfortune contribution
τοῖς τρομεροῖς κώλοισιν ὑπήλυθον ἠρέμα τύμβον,
with-the trembling with-limbs I-went-under quietly tomb
εὑρὼν οἰζυροῦ τέρμα μόλις βιότου.
having-found of-miserable end scarcely of-life
ἠλλάχθη δ' ἐπ' ἐμοὶ νεκύων νόμος· οὐ γὰρ ἔθνησκον
was-changed and in me of-dead custom not for I-died
πρῶτον, ἔπειτ' ἐτάφην· ἀλλὰ ταφεὶς ἔθανον.
first then was-buried but having-been-buried I-died

337. ΑΔΗΛΟΝ

337 uncertain

Μή με θοῶς, κύδιστε, παρέρχεο τύμβον, ὁδῖτα,
Not me swiftly most-glorious pass-by tomb wayfarer
σοῖσιν ἀκοιμήτοις ποσσί, κελευθοπόρε·
with-your with-unresting with-feet road-traveler
δερκόμενος δ' ἐρέεινε, τίς ἢ πόθεν; Ἁρμονίαν γάρ
looking but ask who or whence Harmonia for
γνώσεαι, ἧς γενεὴ λάμπεται ἐν Μεγάροις·
you-will-know whose race shines in Megara
πάντα γάρ, ὅσσα βροτοῖσι φέρει κλέος, ἦεν ἰδέσθαι,
all for as-much-as to-mortals brings glory was to-see
εὐγενίην ἐρατήν, ἤθεα, σωφροσύνην.
nobility lovely manners chastity

τοίης τύμβον ἄθρησον· ἐς οὐρανίας γὰρ ἀταρποὺς
of-such tomb look-at to heavenly for paths
ψυχὴ παπταίνει σῶμ᾽ ἀποδυσαμένη.
soul gazes body having-put-off

338. ΑΔΗΛΟΝ

338 uncertain

Ἅδε τοι, Ἀρχίου υἱὲ Περίκλεες, ἁ λιθίνα ᾽γὼ
This to-you of-Archias son Pericles the stone I
ἕστακα στάλα, μνᾶμα κυναγεσίας·
stand stele memorial of-hunting
πάντα δέ τοι περὶ σᾶμα τετεύχαται, ἵπποι, ἄκοντες,
all and to-you around tomb are-wrought horses javelins
αἱ κύνες, αἱ στάλικες, δίκτυ᾽ ὑπὲρ σταλίκων,
the hounds the stakes nets over stakes
αἰαῖ, λάϊνα πάντα· περιτροχάουσι δὲ θῆρες·
alas of-stone all run-around and beasts
αὐτὸς δ᾽ εἰκοσέτας νήγρετον ὕπνον ἔχεις.
you-yourself and twenty-years-old unwaking sleep you-have

A man asks why he was born only to die, and bids his friend fill the cup. Marathonis mourns Nicopolis, Proclus and Syrianus share one tomb, and Paterius dies at twenty-four. Simonides' lion stands on a tomb, and Callimachus says the dead man's name was Lion. Philaenis denies she wrote the lewd book ascribed to her, and Sabinus is a friend sought even among the dead. Adeimantus, Timocreon the glutton, and a sick man who died late are recalled. The daughters of Lycambes swear by the dead that they were chaste and that Archilochus slandered them, and Maronis the old drinker has a cup on her tomb.

339. ΑΔΗΛΟΝ

339 uncertain

Οὐδὲν ἁμαρτήσας γενόμην παρὰ τῶν με τεκόντων·
Nothing having-sinned I-was-born from the me having-begotten
γεννηθεὶς δ' ὁ τάλας ἔρχομαι εἰς Ἀΐδην.
having-been-born and the wretch I-go to Hades
ὦ μῖξις γονέων θανατηφόρος· ὦ μοι ἀνάγκης,
O mingling of-parents death-bringing O me of-necessity
ἥ με προσπελάσει τῷ στυγερῷ θανάτῳ.
which me will-bring-near to-the hateful to-death
οὐδὲν ἐὼν γενόμην· πάλιν ἔσσομαι, ὡς πάρος, οὐδέν·
nothing being I-was-born again I-will-be as before nothing
οὐδὲν καὶ μηδὲν τῶν μερόπων τὸ γένος·
nothing and naught of-the mortals the race
λοιπόν μοι τὸ κύπελλον ἀποστίλβωσον, ἑταῖρε,
remaining for-me the cup polish comrade
καὶ λύπης †ὀδύνην τὸν Βρόμιον πάρεχε.
and of-grief pain — Bromius provide

340. ΑΔΗΛΟΝ

340 uncertain

Εὑρέθη ἐν Θεσσαλονίκῃ

Was-found in Thessalonica

Νικόπολιν Μαράθωνις ἐθήκατο τῇδ' ἐνὶ πέτρῃ,
Nicopolis Marathonis laid this in rock
ὀμβρήσας δακρύοις λάρνακα μαρμαρέην.
having-rained with-tears coffin marble
ἀλλ' οὐδὲν πλέον ἔσχε· τί γὰρ πλέον ἀνέρι κήδευς
but nothing more had what for more to-man of-funeral
μούνῳ ὑπὲρ γαίης, οἰχομένης ἀλόχου;
alone above earth having-gone of-wife

341. ΠΡΟΚΛΟΥ

341 of-Proclus

Πρόκλος ἐγὼ Λύκιος γενόμην γένος, ὃν Συριανὸς
Proclus I Lycian was by-race whom Syrianus
ἐνθάδ' ἀμοιβὸν ἑῆς θρέψε διδασκαλίης.
here successor of-his-own reared of-teaching
ξυνὸς δ' ἀμφοτέρων ὅδε σώματα δέξατο τύμβος,
common and of-both this bodies received tomb
αἴθε δὲ καὶ ψυχὰς χῶρος ἕεις λελάχοι.
would-that and also souls place one might-have-gotten

342. ΑΔΗΛΟΝ

342 uncertain

Κάτθανον, ἀλλὰ μένω σε· μενεῖς δέ τε
I-died but I-wait-for you you-will-wait-for and and
καὶ σύ τιν᾽ ἄλλον·
also you some other
πάντας ὁμῶς θνητοὺς εἷς Ἀΐδης δέχεται.
all alike mortals one Hades receives

343. ΑΔΗΛΟΝ

343 uncertain

Πατέριον λιγύμυθον, ἐπήρατον, ἔλλαχε τύμβος,
Paterius sweet-spoken lovely got tomb
Μιλτιάδου φίλον υἷα καὶ Ἀττικίης βαρυτλήτου,
of-Miltiades dear son and of-Atticia of-much-suffering
Κεκροπίης βλάστημα, κλυτὸν γένος Αἰακιδάων,
of-Cecropia offspring famous race of-Aeacids
ἔμπλεον Αὐσονίων θεσμῶν σοφίης τ᾽ ἀναπάσης,
full of-Ausonian of-laws of-wisdom and of-all
τῶν πισύρων ἀρετῶν ἀμαρύγματα πάντα φέροντα·
of-the four of-virtues gleams all bearing
ἠΐθεον χαρίεντα, τὸν ἥρπασε μόρσιμος αἶσα,
youth graceful whom snatched fated lot
οἷά τε ἀγλαόμορφον ἀπὸ χθονὸς ἔρνος ἀήτης,
as — splendid-formed from earth sapling wind
εἰκοσικαιτέτρατον βιότου λυκάβαντα περῶντα·
twenty-fourth of-life year passing
λεῖψε φίλοις δὲ τοκεῦσι γόον καὶ πένθος ἄλαστον.
left to-dear and to-parents lamentation and grief unforgettable

344 a. ΣΙΜΩΝΙΔΟΥ

344 a of-Simonides

Θηρῶν μὲν κάρτιστος ἐγώ, θνατῶν δ' ὃν ἐγὼ νῦν
Of-beasts indeed mightiest I of-mortals and whom I now
φρουρῶ, τῷδε τάφῳ λαΐνῳ ἐμβεβαώς.
guard on-this tomb stone standing-upon

344 b. ΚΑΛΛΙΜΑΧΟΥ

344 b of-Callimachus

Ἀλλ' εἰ μὴ θυμόν γε Λέων ἐμὸν οὔνομά τ' εἶχεν,
But if not spirit indeed Lion my name and had
οὐκ ἂν ἐγὼ τύμβῳ τῷδ' ἐπέθηκα πόδας.
not — I on-tomb on-this would-have-set feet

345. ΑΔΕΣΠΟΤΟΝ

345 anonymous

Ἐγὼ Φιλαινὶς ἡ 'πίβωτος ἀνθρώποις
I Philaenis the notorious among-men
ἐνταῦθα γήρᾳ τῷ μακρῷ κεκοίμημαι.
here in-old-age in-the long have-been-laid-to-sleep
μή μ', ὦ μάταιε ναῦτα, τὴν ἄκραν κάμπτων,
not me O foolish sailor the headland rounding
χλεύην τε ποιεῦ καὶ γέλωτα καὶ λάσθην.
mockery both make and laughter and jeering
οὐ γάρ, μὰ τὸν Ζῆν' οὐδὲ τοὺς κάτω Κούρους,
not for by — Zeus nor the below Curetes
οὐκ ἦν ἐς ἄνδρας μάχλος οὐδὲ δημώδης·
not was toward men lustful nor public

Πολυκράτης δὲ τὴν γονὴν Ἀθηναῖος,
Polycrates and the birth Athenian
λόγων τι παιπάλημα καὶ κακὴ γλῶσσα,
of-words some subtlety and wicked tongue
ἔγραψεν οἵ᾽ ἔγραψ᾽, ἐγὼ γὰρ οὐκ οἶδα.
wrote what he-wrote I for not know

346. ΑΔΕΣΠΟΤΟΝ

346 anonymous

Τοῦτό τοι ἡμετέρης μνημήϊον, ἐσθλὲ Σαβῖνε,
This to-you of-our memorial noble Sabinus
ἡ λίθος ἡ μικρή, τῆς μεγάλης φιλίης.
the stone the small of-the great of-friendship
αἰεὶ ζητήσω σε· σὺ δ᾽, εἰ θέμις, ἐν φθιμένοισι
always I-will-seek you you and if lawful among the-dead
τοῦ Λήθης ἐπ᾽ ἐμοὶ μή τι πίῃς ὕδατος.
of-the of-Lethe on me not at-all drink of-water

347. ΑΔΕΣΠΟΤΟΝ

347 anonymous

Οὗτος Ἀδειμάντου κείνου τάφος, οὗ διὰ βουλὰς
This of-Adeimantus of-that tomb whose through counsels
Ἑλλὰς ἐλευθερίης ἀμφέθετο στέφανον.
Hellas of-freedom put-on crown

348. ΣΙΜΩΝΙΔΟΥ

348 of-Simonides

Πολλὰ πιὼν καὶ πολλὰ φαγών,
Much having-drunk and much having-eaten
καὶ πολλὰ κάκ᾽ εἰπὼν
and much evil having-said
ἀνθρώπους, κεῖμαι Τιμοκρέων Ῥόδιος.
(of)-men I-lie Timocreon Rhodian

349. ΑΔΗΛΟΝ

349 uncertain

Βαιὰ φαγὼν καὶ βαιὰ πιὼν καὶ πολλὰ νοσήσας,
Little having-eaten and little having-drunk and much having-been-sick
ὀψὲ μέν, ἀλλ᾽ ἔθανον. ἔρρετε πάντες ὁμοῦ.
late indeed but I-died go-to-ruin all together

350. ΑΔΗΛΟΝ

350 uncertain

Ναυτίλε, μὴ πεύθου τίνος ἐνθάδε τύμβος ὅδ᾽ εἰμί,
Sailor not ask of-whom here tomb this I-am
ἀλλ᾽ αὐτὸς πόντου τύγχανε χρηστοτέρου.
but yourself of-sea meet of-kinder

351. ΔΙΟΣΚΟΡΙΔΟΥ

351 of-Dioscorides

Οὐ μὰ τόδε φθιμένων σέβας ὅρκιον, αἵδε Λυκάμβεω,
No by this of-the-dead majesty sworn we of-Lycambes
αἳ λάχομεν στυγερὴν κληδόνα, θυγατέρες,
who got hateful repute daughters
οὔτε τι παρθενίην ᾐσχύναμεν, οὔτε τοκῆας,
neither at-all maidenhood we-disgraced nor parents
οὔτε Πάρον νήσων αἰπυτάτην ἱερῶν.
nor Paros of-islands loftiest of-holy
ἀλλὰ καθ' ἡμετέρης γενεῆς ῥιγηλὸν ὄνειδος
but against our race shuddering reproach
φήμην τε στυγερὴν ἔβλυσεν Ἀρχίλοχος.
report and hateful spouted Archilochus
Ἀρχίλοχον, μὰ θεοὺς καὶ δαίμονας, οὔτ' ἐν ἀγυιαῖς
Archilochus by gods and spirits neither in streets
εἴδομεν, οὔθ' Ἥρης ἐν μεγάλῳ τεμένει.
we-saw nor of-Hera in great precinct
εἰ δ' ἦμεν μάχλοι καὶ ἀτάσθαλοι, οὐκ ἂν ἐκεῖνος
if but we-were lustful and wanton not — that-one
ἤθελεν ἐξ ἡμέων γνήσια τέκνα τεκεῖν.
would-have-wished from us legitimate children to-beget

352. ΑΔΕΣΠΟΤΟΝ, οἱ δὲ ΜΕΛΕΑΓΡΟΥ

352 anonymous the(-others) and of-Meleager

Δεξιτερὴν Ἄϊδαο θεοῦ χέρα καὶ τὰ κελαινὰ
Right of-Hades of-god hand and the dark
ὄμνυμεν ἀρρήτου δέμνια Περσεφόνης,
we-swear of-unspeakable bed of-Persephone

παρθένοι ὡς ἔτυμον καὶ ὑπὸ χθονί· πολλὰ δ' ὁ πικρὸς
maidens as truly also under earth much but the bitter
αἰσχρὰ καθ' ἡμετέρης ἔβλυσε παρθενίης
shameful against our spouted maidenhood
Ἀρχίλοχος· ἐπέων δὲ καλὴν φάτιν οὐκ ἐπὶ καλὰ
Archilochus of-verses and fair fame not to fair
ἔργα, γυναικεῖον δ' ἔτραπεν ἐς πόλεμον.
deeds womanly but turned to war
Πιερίδες, τί κόρῃσιν ἔφ' ὑβριστῆρας ἰάμβους
Pierides why at-girls against outrageous iambs
ἐτράπετ', οὐχ ὁσίῳ φωτὶ χαριζόμεναι;
you-turned not holy man favoring

353. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

353 of-Antipater of-Sidon

Τῆς πολιῆς τόδε σῆμα Μαρωνίδος, ἧς ἐπὶ τύμβῳ
Of-the of-gray this tomb of-Maronis whose on tomb
γλυπτὴν ἐκ πέτρης αὐτὸς ὁρᾷς κύλικα.
carved from stone yourself you-see cup
ἡ δὲ φιλάκρητος καὶ ἀείλαλος οὐκ ἐπὶ τέκνοις
she and lover-of-wine and ever-chattering not for children
μύρεται, οὐ τεκέων ἀκτεάνῳ πατέρι·
weeps not of-children for-poor father
ἓν δὲ τόδ' αἰάζει καὶ ὑπ' ἠρίον, ὅττι τὸ Βάκχου
one but this laments even under tomb that the of-Bacchus
ἄρμενον οὐ βάκχου πλῆρες ἔπεστι τάφῳ.
fitting not of-wine full is-upon tomb

354. ΓΑΙΤΟΥΛΙΚΟΥ

354 of-Gaetulicus

Παίδων Μηδείης οὗτος τάφος, οὓς ὁ πυρίπνους
Of-children of-Medea this tomb whom the fire-breathing
ζῆλος τῶν Γλαύκης θῦμ' ἐποίησε γάμων,
jealousy of-the of-Glauce sacrifice made of-marriage
οἷς αἰεὶ πέμπει μειλίγματα Σισυφὶς αἶα,
to-whom always sends appeasements Sisyphean land
μητρὸς ἀμείλικτον θυμὸν ἱλασκομένα.
of-mother implacable spirit propitiating

EPIGRAMS 355–372

Passers-by are asked to bid farewell to Praxiteles of Andros, a cheerful man and good company over wine, and a robber who buries his victim is cursed five ways. A father has buried his son, when the reverse would have been just. Aetius' body goes to Hades and his soul delights with Zeus, Zenodotus' soul goes to heaven where Orpheus and Plato are, and a locust and a cicada are buried by Myro. A child's sandals slip as he boards Charon's boat. Three are drowned at sea, Hegerius dies on his way to his bride, an Athenian woman taken captive dies at Cyzicus, and the orator Antipater lies disputed between Athens and the Nile. Menander's tomb, a servant buried far from home, and a Theban buried at Tarentum close the section.

355. ΔΑΜΑΓΗΤΟΥ

355 of-Damagetus

Τὴν ἱλαρὰν φωνὴν καὶ τίμιον, ὦ παριόντες,
The cheerful voice and honored O passers-by
τῷ χρηστῷ "χαίρειν" εἴπατε Πραξιτέλει·
to-the good to-fare-well say to-Praxiteles

ἦν δ' ὠνὴρ Μουσέων ἱκανὴ μερίς, ἠδὲ παρ' οἴνῳ
was and the-man of-Muses sufficient share and by wine
κρήγυος. ὦ χαίροις Ἄνδριε Πραξίτελες.
pleasant O farewell Andrian Praxiteles

356. ΑΔΗΛΟΝ

356 uncertain

Εἰς τινα ὑπὸ λῃστοῦ ἀναιρεθέντα καὶ ὑπ' αὐτοῦ πάλιν
On someone by robber having-been-slain and by him again
θαπτόμενον
being-buried

Ζωὴν συλήσας, δωρῇ τάφον· ἀλλά με κρύπτεις,
Life having-robbed you-give tomb but me you-hide
οὐ θάπτεις. τοίου καὐτὸς ὄναιο τάφου.
not you-bury of-such and-yourself may-you-enjoy tomb

Εἰς τὸν αὐτόν
On the same

357. ΑΛΛΟ

357 another

Κἄν με κατακρύπτῃς, ὡς οὐδενὸς ἀνδρὸς ὁρῶντος,
Even-if me you-hide as of-no of-man seeing
ὄμμα Δίκης καθορᾷ πάντα τὰ γινόμενα.
eye of-Justice looks-down-on all the happening

Εἰς τὸν αὐτόν

On the same

358. ΑΛΛΟ

358 another

Ἔκτανες, εἶτά μ' ἔθαπτες, ἀτάσθαλε, χερσὶν ἐκείναις
You-killed then me you-buried wicked with-hands with-those
αἷς με διεχρήσω· μή σε λάθοι Νέμεσις.
with-which me you-slew not you may-escape Nemesis

Εἰς τὸν αὐτόν

On the same

359. ΑΛΛΟ

359 another

Εἴ με νέκυν κατέθαπτες ἰδὼν οἰκτίρμονι θυμῷ,
If me corpse you-buried having-seen with-pitying with-heart
εἶχες ἂν ἐκ μακάρων μισθὸν ἐπ' εὐσεβίῃ·
you-would-have — from blessed reward for piety
νῦν δ' ὅτε δὴ τύμβῳ με κατακρύπτεις ὁ φονεύσας,
now but when indeed in-tomb me you-hide the having-murdered
τῶν αὐτῶν μετέχοις ὥνπερ ἐμοὶ παρέχεις.
of-the same may-you-share which-very to-me you-give

Εἰς τὸν αὐτόν

On the same

360. ΑΛΛΟ

360 another

Χερσὶ κατακτείνας τάφον ἔκτισας, οὐχ ἵνα θάψῃς,
With-hands having-killed tomb you-built not that you-might-bury
ἀλλ' ἵνα με κρύψῃς· ταὐτὸ δὲ καὶ σὺ πάθοις.
but that me you-might-hide the-same and also you may-suffer

361. ΑΔΗΛΟΝ

361 uncertain

Υἱῖ πατὴρ τόδε σῆμα· τὸ δ' ἔμπαλιν ἦν τὸ δίκαιον·
For-son father this tomb the but reverse was the just
ἦν δὲ δικαιοσύνης ὁ φθόνος ὀξύτερος.
was but than-justice the envy sharper

362. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ

362 of-Philip of-Thessalonica

Ἐνθάδε τὴν ἱερὴν κεφαλὴν σορὸς ἥδε κέκευθεν
Here the holy head coffin this has-hidden
Ἀετίου χρηστοῦ, ῥήτορος ἐκπρεπέος.
of-Aetius of-good of-orator of-distinguished

ἦλθεν δ' εἰς Ἀΐδαο δέμας, ψυχὴ δ' ἐν Ὀλύμπῳ
went and to of-Hades body soul and in Olympus
τέρπεθ' ἅμα Ζηνὶ καὶ ἄλλοισιν μακάρεσσι
delights together with-Zeus and with-other with-blessed
… ἀθάνατον δὲ
(lacuna) immortal and
οὔτε λόγος ποιεῖν οὔτε θεὸς δύναται.
neither speech to-make nor god is-able

363. ΑΔΕΣΠΟΤΟΝ

363 anonymous

†Τετμενάνης ὅδε τύμβος ἐϋγλύπτοιο μετάλλου
(corrupt) this tomb of-well-carved of-marble
ἥρωος μεγάλου νέκυος κατὰ σῶμα καλύπτει
of-hero of-great of-corpse over body covers
Ζηνοδότου· ψυχὴ δὲ κατ' οὐρανόν, ᾗχί περ Ὀρφεύς,
of-Zenodotus soul but in heaven where indeed Orpheus
ᾗχι Πλάτων, ἱερὸν θεοδέγμονα θῶκον ἐφεῦρεν.
where Plato holy god-receiving seat found
Ἱππεὺς μὲν γὰρ ἔην βασιλήϊος ἄλκιμος οὗτος,
Knight indeed for was royal valiant this-man
κύδιμος, ἀρτιεπής, θεοείκελος· ἐν δ' ἄρα μύθοις
glorious fluent godlike in and then speeches
Σωκράτεος μίμημα παρ' Αὐσονίοισιν ἐτύχθη·
of-Socrates imitation among Ausonians was-made
παισὶ δὲ καλλείψας πατρώϊον αἴσιον ὄλβον,
to-children and having-left ancestral auspicious wealth

ὠμογέρων τέθνηκε, λιπὼν ἀπερείσιον ἄλγος
in-green-old-age he-died having-left boundless grief
εὐγενέεσσι φίλοισι καὶ ἄστεϊ καὶ πολιήταις.
to-noble to-friends and to-city and to-citizens

364. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ

364 of-Marcus Argentarius

Ἀκρίδι καὶ τέττιγι Μυρὼ τόδε θήκατο σῆμα,
For-locust and for-cicada Myro this set tomb
λιτὴν ἀμφοτέροις χερσὶ βαλοῦσα κόνιν,
simple with-both with-hands having-thrown dust
ἵμερα δακρύσασα πυρῆς ἔπι· τὸν γὰρ ἀοιδὸν
longingly having-wept of-pyre on the for singer
ᾅδης, τὴν δ' ἑτέρην ἥρπασε Περσεφόνη.
Hades the and other snatched Persephone

365. ΖΩΝΑ ΣΑΡΔΙΑΝΟΥ, τοῦ καὶ ΔΙΟΔΩΡΟΥ

365 of-Zonas of-Sardis the also of-Diodorus

Ἀΐδῃ ὃς ταύτης καλαμώδεος ὕδατι λίμνης
For-Hades who of-this reedy with-water of-lake
κωπεύεις νεκύων βᾶριν, †ἐλῶν ὀδύνην,
you-row of-dead boat rowing pain
τῷ Κινύρου τὴν χεῖρα βατηρίδος ἐμβαίοντι
for-the of-Cinyras the hand of-gangway stepping-on
κλίμακος ἐκτείνας, δέξο, κελαινὲ Χάρον·
of-ladder having-stretched-out receive dark Charon

πλάζει γὰρ τὸν παῖδα τὰ σάνδαλα· γυμνὰ δὲ θεῖναι
make-stumble for the child the sandals naked and to-set
ἴχνια δειμαίνει ψάμμον ἔπ᾽ ἠονίην.
feet he-fears sand on shore

366. ΑΝΤΙΣΤΙΟΥ

366 of-Antistius

Ἀώου προχοαὶ σέ, Μενέστρατε, καὶ σέ, Μένανδρε,
Of-Aous outpourings you Menestratus and you Menander
λαῖλαψ Καρπαθίη, καὶ σὲ πόρος Σικελὸς
storm Carpathian and you strait Sicilian
ὤλεσεν ἐν πόντῳ, Διονύσιε· φεῦ πόσον ἄλγος
destroyed in sea Dionysius alas how-great grief
Ἑλλάδι· τοὺς πάντων κρέσσονας ἀθλοφόρων.
to-Hellas the of-all better than-prize-winners

367. ΑΝΤΙΠΑΤΡΟΥ

367 of-Antipater

Αὔσονος Ἠγερίου με λέγειν νέκυν, ᾧ μετιόντι
Of-Ausonian of-Hegerius me to-say corpse to-whom going-after
νύμφην ὀφθαλμοὺς ἀμβλὺ κατέσχε νέφος,
bride eyes dim held cloud
ὄμμασι δὲ πνοιὴν συναπέσβεσε μοῦνον ἰδόντος
with-eyes and breath quenched-together only having-seen
κούρην. φεῦ κείνης, Ἥλιε, θευμορίης·
girl alas of-that Sun of-god-sent-doom

ἔρροι δὴ κεῖνο φθονερὸν σέλας, εἴθ' Ὑμέναιος
perish indeed that envious light whether Hymenaeus
ἧψέ μιν οὐκ ἐθέλων, εἴτ' Ἀΐδης ἐθέλων.
lit it not wishing or Hades wishing

368. ΕΡΥΚΙΟΥ

368 of-Erycius

Ἀτθὶς ἐγώ· κείνη γὰρ ἐμὴ πόλις· ἐκ δέ μ' Ἀθηνῶν
Attic I she for my city from and me Athens
λοιγὸς Ἄρης Ἰταλῶν πρὶν ποτ' ἐληΐσατο,
destructive Ares of-Italians before once plundered
καὶ θέτο Ῥωμαίων πολιήτιδα· νῦν δὲ θανούσης
and made of-Romans citizen now and having-died
ὀστέα νησαίη Κύζικος ἠμφίασε.
bones island Cyzicus clothed
χαίροις ἡ θρέψασα, καὶ ἡ μετέπειτα λαχοῦσα
farewell the having-reared and the afterward having-gotten
χθών με, καὶ ἡ κόλποις ὕστατα δεξαμένη.
land me and the in-bosom last having-received

369. ΑΝΤΙΠΑΤΡΟΥ

369 of-Antipater

Ἀντιπάτρου ῥητῆρος ἐγὼ τάφος· ἡλίκα δ' ἔπνει
Of-Antipater of-orator I tomb how-great and he-breathed
ἔργα, Πανελλήνων πεύθεο μαρτυρίης.
works of-all-Greeks learn of-testimony

κεῖται δ' ἀμφήριστος, Ἀθηνόθεν, εἴτ' ἀπὸ Νείλου
lies and disputed from-Athens or from Nile
ἦν γένος· ἠπείρων δ' ἄξιος ἀμφοτέρων.
was race of-continents and worthy of-both
ἄστεα καὶ δ' ἄλλως ἑνὸς αἵματος, ὡς λόγος Ἕλλην·
cities even and otherwise of-one of-blood as story Greek
κλήρῳ δ' ἡ μὲν ἀεὶ Παλλάδος, ἡ δὲ Διός.
by-lot and the(-one) indeed always of-Pallas the(-other) and of-Zeus

370. ΔΙΟΔΩΡΟΥ

370 of-Diodorus

Βάκχῳ καὶ Μούσῃσι μεμηλότα, τὸν Διοπείθους,
To-Bacchus and to-Muses cared-for the of-Diopeithes
Κεκροπίδην ὑπ' ἐμοί, ξεῖνε, Μέναν̣δρον ἔχω,
Cecropid under me stranger Menander I-hold
ἐν πυρὶ τὴν ὀλίγην ὃς ἔχει κόνιν· εἰ δὲ Μένανδρον
in fire the little who has dust if but Menander
δίζηαι, δήεις ἐν Διὸς ἢ μακάρων.
you-seek you-will-find in of-Zeus or of-blessed

371. ΚΡΙΝΑΓΟΡΟΥ

371 of-Crinagoras

Γῆ μευ καὶ μήτηρ κικλήσκετο· γῆ με καλύπτει
Earth my also mother was-called earth me covers
καὶ νέκυν. οὐ κείνης ἥδε χερειοτέρη·
also corpse not than-her this worse

ἔσσομαι ἐν ταύτῃ δηρὸν χρόνον· ἐκ δέ με μητρὸς
I-will-be in this long time from and me mother
ἥρπασεν ἠελίου καῦμα τὸ θερμότατον.
snatched of-sun heat the hottest
κεῖμαι δ' ἐν ξείνῃ, ὑπὸ χερμάδι, μακρὰ γοηθείς,
I-lie and in foreign under stone long having-been-lamented
Ἴναχος, εὐπειθὴς Κριναγόρου θεράπων.
Inachus obedient of-Crinagoras servant

372. ΒΑΣΣΟΥ ΛΟΛΛΙΟΥ

372 of-Bassus Lollius

Γαῖα Ταραντίνων, ἔχε μείλιχος ἀνέρος ἐσθλοῦ
Earth of-Tarentines hold gentle of-man of-noble
τόνδε νέκυν. ψεῦσται δαίμονες ἀμερίων·
this corpse liars gods of-mortals
ἦ γὰρ ἐὼν Θήβηθεν Ἀτύμνιος οὐκέτι πρόσσω
truly for being from-Thebes Atymnius no-longer farther
ἤνυσεν, ἀλλὰ τεὴν βῶλον ὑπῳκίσατο·
accomplished but your clod he-settled-under
ὀρφανικῷ δ' ἐπὶ παιδὶ λιπὼν βίον, εὖνιν ἔθηκεν
orphan and to child having-left life bereaved made
ὀφθαλμῶν. κείνῳ μὴ βαρὺς ἔσσο τάφος.
of-eyes to-him not heavy be tomb

Two sons of Miletus die in Italy, and a drowned man has only a cenotaph. A woman gives birth during an earthquake, Seleucus dies in Spain, and the poet Parthenius, who called the Odyssey mud, is strangled in Hades. Husband and wife die within the same hour, and the harbor of Dicaearchia speaks. Crinagoras says Eunicides' fine tomb hides a worthless man, a fisherman's own boat, which fed him in life, becomes his pyre, and a shipwrecked corpse is thrown back on land and dragged off again. A body broken on the rocks lies scattered on the shore, the old drinker Aristomache asks Minos for a light urn to carry water from Acheron, falsely claiming that she too killed a young husband, only so that she may still see a jar among the dead, and the trees by Protesilaus' tomb still rage against Troy.

373. ΘΑΛΛΟΥ ΜΙΛΗΣΙΟΥ

373 of-Thallus of-Miletus

Δισσὰ φάη, Μίλητε, τεῆς βλαστήματα γαίης,
Double lights Miletus of-your offshoots of-land
Ἰταλὶς ὠκυμόρους ἀμφεκάλυψε κόνις·
Italian swift-fated covered-over dust
πένθεα δὲ στεφάνων ἠλλάξαο· λείψανα δ', αἰαῖ,
griefs and for-garlands you-exchanged remains and alas
ἔδρακες ἐν βαιῇ κάλπιδι κευθόμενα.
you-saw in small urn hidden
φεῦ, πάτρα τριτάλαινα· πόθεν πάλιν ἢ πότε τοίους
alas fatherland thrice-wretched whence again or when such
ἀστέρας αὐχήσεις Ἑλλάδι λαμπομένους;
stars will-you-boast for-Hellas shining

374. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ

374 of-Marcus Argentarius

Δύσμορος ἐκρύφθην πόντῳ νέκυς, ὃν παρὰ κῦμα
Ill-fated I-was-hidden in-sea corpse whom by wave
ἔκλαυσεν μήτηρ μυρία Λυσιδίκη,
wept mother countless Lysidice
ψεύστην αὐγάζουσα κενὸν τάφον· ἀλλά με δαίμων
lying looking-at empty tomb but me god
ἄπνουν αἰθυίαις θῆκεν ὁμορρόθιον
breathless for-gulls made fellow-in-the-wave
Πνυταγόρην· ἔσχον δὲ κατ' Αἰγαίην ἅλα πότμον,
Pnytagoras I-met and in Aegean sea fate
πρυμνούχους στέλλων ἐκ Βορέαο κάλους.
stern-holding furling from North-Wind cables
ἀλλ' οὐδ' ὣς ναύτην ἔλιπον δρόμον, ἀλλ' ἀπὸ νηὸς
but not-even so sailor I-left course but from ship
ἄλλην πὰρ φθιμένοις εἰσανέβην ἄκατον.
another among dead I-went-aboard boat

375. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ

375 of-Antiphilus of-Byzantium

Δώματά μοι σεισθέντα κατήριπεν· ἀλλ' ἐμὸς ἀπτὼς
House for-me having-been-shaken fell-down but my unfallen
ἦν θάλαμος, τοίχων ὀρθὰ τιναξαμένων,
was chamber of-walls upright having-been-shaken
οἷς ὑποφωλεύουσαν ὑπήλυθον αἱ κακόμοιροι
in-which lying-hidden came-upon the wretched
ὠδῖνες· σεισμῷ δ' ἄλλον ἔμιξα φόβον.
pangs to-earthquake and other I-mixed fear

μαῖα δέ μοι λοχίων αὐτὴ φύσις· ἀμφότεροι δὲ
midwife and for-me of-childbirth herself nature both and
κοινὸν ὑπὲρ γαίης εἴδομεν ἠέλιον.
common above earth we-saw sun

376. ΚΡΙΝΑΓΟΡΟΥ

376 of-Crinagoras

Δείλαιοι, τί κεναῖσιν ἀλώμεθα θαρσήσαντες
Wretched why in-empty we-wander having-trusted
ἐλπίσιν, ἀτηροῦ ληθόμενοι θανάτου;
in-hopes of-ruinous forgetting of-death
ἦν ὅδε καὶ μύθοισι καὶ ἤθεσι πάντα Σέλευκος
was this-man both in-speech and in-manners all Seleucus
ἄρτιος, ἀλλ᾽ ἥβης βαιὸν ἐπαυρόμενος,
perfect but of-youth briefly having-enjoyed
ὑστατίοις ἐν Ἴβηρσι, τόσον δίχα τηλόθι Λέσβου,
farthest among Iberians so-far apart far-off from-Lesbos
κεῖται ἀμετρήτων ξεῖνος ἐπ᾽ αἰγιαλῶν.
lies of-measureless stranger on shores

377. ΕΡΥΚΙΟΥ

377 of-Erycius

Εἰ καὶ ὑπὸ χθονὶ κεῖται, ὅμως ἔτι καὶ κατὰ πίσσαν
If even under earth he-lies nevertheless still also over pitch
τοῦ μιαρογλώσσου χεύατε Παρθενίου,
of-the foul-tongued pour of-Parthenius

οὕνεκα Πιερίδεσσιν ἐνήμεσε μυρία κεῖνα
because on-Pierides he-vomited countless those
φλέγματα καὶ μυσαρῶν ἀπλυσίην ἐλέγων.
phlegms and of-filthy filth of-elegies
ἤλασε καὶ μανίης ἐπὶ δὴ τόσον, ὥστ' ἀγορεῦσαι
he-drove even of-madness to indeed so-far as to-call
πηλὸν Ὀδυσσείην καὶ βάτον Ἰλιάδα.
mud Odyssey and bramble Iliad
τοιγὰρ ὑπὸ ζοφίαισιν Ἐρινύσιν ἀμμέσον ἧπται
therefore under gloomy Erinyes in-the-middle he-is-bound
Κωκυτοῦ κλοιῷ λαιμὸν ἀπαγχόμενος.
of-Cocytus with-collar throat being-strangled

378. ΑΠΟΛΛΩΝΙΔΟΥ

378 of-Apollonides

Ἔφθανεν Ἡλιόδωρος, ἐφέσπετο δ', οὐδ' ὅσον ὥρη
Went-first Heliodorus followed and not-even as-much-as hour
ὕστερον, ἀνδρὶ φίλῳ Διογένεια δάμαρ.
later husband dear Diogeneia wife
ἄμφω δ', ὡς ἅμ' ἔναιον, ὑπὸ πλακὶ τυμβεύονται,
both and as together they-dwelt under slab are-entombed
ξυνὸν ἀγαλλόμενοι καὶ τάφον ὡς θάλαμον.
common rejoicing-in also tomb as chamber

379. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ

379 of-Antiphilus of-Byzantium

— Εἰπέ, Δικαιάρχεια, τί σοι τόσον εἰς ἅλα χῶμα
Tell Dicaearchia why for-you so-great into sea mound
βέβληται, μέσσου γευόμενον πελάγους;
has-been-thrown of-middle tasting of-sea
Κυκλώπων τάδε χεῖρες ἐνιδρύσαντο θαλάσσῃ
of-Cyclopes these hands set-up in-sea
τείχεα· μέχρι πόσου, Γαῖα, βιαζόμεθα;
walls up-to how-far Earth are-we-forced
— Κόσμου νηΐτην δέχομαι στόλον· εἴσιδε Ῥώμην
Of-world ship-borne I-receive fleet look-at Rome
ἐγγύθεν, εἰ ταύτης μέτρον ἔχω λιμένα.
near if of-her measure I-have harbor

380. ΚΡΙΝΑΓΟΡΟΥ

380 of-Crinagoras

Εἰ καὶ τὸ σῆμα λυγδίνης ἀπὸ πλακὸς
If even the tomb of-white-marble from slab
καὶ ξεστὸν ὀρθῇ λαοτέκτονος στάθμῃ,
and polished by-straight of-mason by-rule
οὐκ ἀνδρὸς ἐσθλοῦ. μὴ λίθῳ τεκμαίρεο,
not of-man of-noble not by-stone judge
ὦ λῷστε, τὸν θανόντα. κωφὸν ἡ λίθος,
O best the dead deaf the stone
τῇ καὶ ζοφώδης ἀμφιέννυται νέκυς.
with-which even gloomy is-clothed corpse

κεῖται δὲ τῇδε τὠλιγηπελὲς ῥάκος
lies and here the-feeble rag
Εὐνικίδαο, σήπεται δ' ὑπὸ σποδῷ.
of-Eunicides rots and under ash

381. ΕΤΡΟΥΣΚΟΥ ΑΠΟ ΜΕΣΣΗΝΗΣ

381 of-Etruscus from Messene

Ἡ μία καὶ βιότοιο καὶ Ἄϊδος ἤγαγεν εἴσω
The one both of-life and of-Hades led within
ναῦς Ἱεροκλείδην, κοινὰ λαχοῦσα τέλη.
ship Hierocleides common having-got ends
ἔτρεφεν ἰχθυβολεῦντα, κατέφλεγε τεθνειῶτα,
she-fed fishing burned dead
σύμπλοος εἰς ἄγρην, σύμπλοος εἰς Ἀΐδην.
fellow-sailor to hunt fellow-sailor to Hades
ὄλβιος ὁ γριπεὺς ἰδίῃ καὶ πόντον ἐπέπλει
blessed the fisherman in-his-own both sea sailed-over
νηΐ, καὶ ἐξ ἰδίης ἔδραμεν εἰς Ἀΐδην.
ship and from his-own ran to Hades

382. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ

382 of-Philip of-Thessalonica

Ἠπείρῳ μ' ἀποδοῦσα νέκυν, τρηχεῖα θάλασσα,
To-land me having-given-back corpse rough sea
σύρεις καὶ τέφρης λοιπὸν ἔτι σκύβαλον.
you-drag also of-ash remaining still refuse

κἠν Ἀΐδῃ ναυηγὸς ἐγὼ μόνος, οὐδ' ἐπὶ χέρσου
even-in Hades shipwrecked I alone not-even on dry-land
εἰρήνην ἕξω φρικαλέης σπιλάδος.
peace I-will-have of-shuddering of-reef
ἢ τύμβευε κενοῦσα καθ' ὕδατος, ἢ παραδοῦσα
either entomb hiding under water or having-handed-over
γαίῃ, τὸν κείνης μηκέτι κλέπτε νέκυν.
to-earth the of-her no-longer steal corpse

383. ΤΟΥ ΑΥΤΟΥ

383 of-the same

Ἠιόνιον τόδε σῶμα βροτοῦ παντλήμονος ἄθρει
Shore-lying this body of-mortal all-wretched behold
σπαρτόν, ἁλιρραγέων ἐκχύμενον σκοπέλων·
scattered of-sea-broken poured-out of-rocks
τῇ μὲν ἐρημοκόμης κεῖται καὶ χῆρος ὀδόντων
here indeed bare-haired lies and bereft of-teeth
κόρση· τῇ δὲ χερῶν πενταφυεῖς ὄνυχες,
temple there and of-hands five-grown nails
πλευρά τε σαρκολιπῆ, ταρσοὶ δ' ἑτέρωθεν ἄμοιροι
ribs and flesh-forsaken soles and elsewhere without-share
νεύρων, καὶ κώλων ἔκλυτος ἁρμονίη.
of-sinews and of-limbs loosened joining
οὗτος ὁ πουλυμερὴς εἷς ἦν ποτε. φεῦ μακαριστοί,
this the many-parted one was once alas blessed
ὅσσοι ἀπ' ὠδίνων οὐκ ἴδον ἠέλιον.
as-many-as from birth-pangs not saw sun

384. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ

384 of-Marcus Argentarius

Ἡ Βρόμιον στέρξασα πολὺ πλέον ἢ τροφὸς Ἰνώ,
The Bromius having-loved much more than nurse Ino
ἡ λάλος ἀμπελίνη γρῆϋς Ἀριστομάχη,
the chattering vine-loving old-woman Aristomache
ἡνίκα τὴν ἱερὴν ὑπέδυ χθόνα, πᾶν τ᾽ ἐμαράνθη
when the holy went-under earth all and was-withered
πνεῦμα πάρος κυλίκων πλεῖστον ἐπαυρομένη,
breath before of-cups most having-enjoyed
εἶπε τάδ᾽· “ Ὦ Μινοῖ, πῆλαι, φέρε, κάλπιν ἐλαφρήν·
said these O Minos shake bring urn light
οἴσω κυάνεον τοὐξ Ἀχέροντος ὕδωρ·
I-will-carry dark the-from Acheron water
καὐτὴ παρθένιον γὰρ ἀπώλεσα.” τοῦτο δ᾽ ἔλεξε
I-too young-husband for killed this but she-said
ψευδές, ἵν᾽ αὐγάζῃ κὴν φθιμένοισι πίθον.
false that she-might-see even-among the-dead jar

385. ΦΙΛΙΠΠΟΥ

385 of-Philip

Ἥρως Πρωτεσίλαε, σὺ γὰρ πρώτην ἐμύησας
Hero Protesilaus you for first initiated
Ἴλιον Ἑλλαδικοῦ θυμὸν ἰδεῖν δόρατος,
Ilium of-Greek temper to-see of-spear
καὶ περὶ σοῖς τύμβοις ὅσα δένδρεα μακρὰ τέθηλε,
and around your tombs as-many-as trees tall flourish
πάντα τὸν εἰς Τροίην ἐγκεκύηκε χόλον·
all the toward Troy have-conceived wrath

Ἴλιον ἦν ἐσίδῃ γὰρ ἀπ᾽ ἀκρεμόνων κορυφαίων,
Ilium if they-see for from branches topmost
καρφοῦται, πετάλων κόσμον ἀναινόμενα.
are-withered of-leaves adornment refusing
θυμὸν ἐπὶ Τροίῃ πόσον ἔζεσας, ἡνίκα τὴν σὴν
temper against Troy how-much you-boiled when the your
σώζει καὶ στελέχη μῆνιν ἐπ᾽ ἀντιπάλους.
keep even trunks wrath against foes

EPIGRAMS 386–400

Niobe's stone weeps for her children, a father loses wife and child, and Clitonymus' body is buried by the river bank. Four sons of Posidippus die in one day, a runner is killed by lightning, and Germanicus' ship is too large for Acheron. A shipwrecked man begs not to be buried by the sea, which pursues him even in Hades. The miller is buried under his millstone, a drowned man has only an empty tomb, and the sons of Oedipus still fight in death. Polyxenus slips and falls from a cliff after a feast, and a nameless bone, a merchant's or a fisherman's, is asked to tell mortals that all their hopes dissolve into this one.

386. ΒΑΣΣΟΥ ΛΟΛΛΙΟΥ

386 of-Bassus Lollius

Ἥδ᾽ ἐγὼ ἡ τοσάκις Νιόβη λίθος, ὁσσάκι μήτηρ·
This I the so-often Niobe stone as-often-as mother
δύσμορος ἣ μαστῶν [θερμὸν] ἔπηξα γάλα·
ill-fated who of-breasts warm congealed milk

Ἀΐδεω πολὺς ὄλβος ἐμῆς ὠδῖνος ἀριθμός,
of-Hades great wealth of-my of-labor number
ᾧ τέκον. ὦ μεγάλης λείψανα πυρκαϊῆς.
which I-bore O of-great remnants of-pyre

387. ΒΙΑΝΟΡΟΣ

387 of-Bianor

Θειονόης ἔκλαιον ἐμῆς μόρον, ἀλλ᾽ ἐπὶ παιδὸς
Of-Theonoe I-wept my fate but on child
ἐλπίσι κουφοτέρας ἔστενον εἰς ὀδύνας.
in-hopes lighter I-groaned into pains
νῦν δέ με καὶ παιδὸς φθονερή γ᾽ ἀπενόσφισε Μοῖρα·
now but me also of-child envious indeed deprived Fate
φεῦ· βρέφος ἐψεύσθην καὶ σὲ τὸ λειπόμενον.
alas babe I-was-cheated even you the remaining
Περσεφόνη, τόδε πατρὸς ἐπὶ θρήνοισιν ἄκουσον·
Persephone this of-father at laments hear
θὲς βρέφος ἐς κόλπους μητρὸς ἀποιχομένης.
set babe into bosom of-mother departed

388. ΤΟΥ ΑΥΤΟΥ

388 of-the same

Ἰχθύσι καὶ ποταμῷ Κλειτώνυμον ἐχθρὸς ὅμιλος
To-fish and to-river Clitonymus hostile mob
ὦσεν, ὅτ᾽ εἰς ἄκρην ἦλθε τυραννοφόνος.
thrust when to citadel he-came tyrant-slaying

ἀλλὰ Δίκα μιν ἔθαψεν· ἀποσπασθεῖσα γὰρ ὄχθα
but Justice him buried having-been-torn-off for bank
πᾶν δέμας ἐς κορυφὴν ἐκ ποδὸς ἐκτέρισεν·
all body to head from foot buried
κεῖται δ᾽ οὐχ ὑδάτεσσι διάβροχος· αἰδομένα δὲ
he-lies and not by-waters drenched ashamed but
Γᾶ κεύθει τὸν ἑᾶς ὅρμον ἐλευθερίας.
Earth hides the of-her-own anchor of-freedom

389. ΑΠΟΛΛΩΝΙΔΟΥ

389 of-Apollonides

Καὶ τίς ὃς οὐκ ἔτλη κακὸν ἔσχατον υἱέα κλαύσας;
And who that not endured evil uttermost son having-wept
ἀλλ᾽ ὁ Ποσειδίππου πάντας ἔθαψε δόμος
but the of-Posidippus all buried house
τέσσαρας, οὓς Ἀΐδαο συνήριθμον ἥρπασεν ἦμαρ,
four whom of-Hades of-equal-number snatched day
τὴν πολλὴν παίδων ἐλπίδα κειραμένου.
the great of-children hope having-shorn
πατρὸς δ᾽ ὄμματα λυγρὰ κατομβρηθέντα γόοισιν
of-father and eyes baneful drenched with-laments
ὤλετο· κοινή που νὺξ μία πάντας ἔχει.
perished common somewhere night one all holds

390. ΑΝΤΙΠΑΤΡΟΥ

390 of-Antipater

Κυλλήνην ὄρος Ἀρκάδων ἀκούεις·
Cyllene mountain of-Arcadians you-hear
αὕτη σῆμ᾽ ἐπίκειτ᾽ Ἀπολλοδώρῳ.
this tomb lies-upon for-Apollodorus
Πίσηθέν μιν ἰόντα νυκτὸς ὥρῃ
from-Pisa him going of-night at-hour
ἔκτεινεν Διόθεν πεσὼν κεραυνός.
killed from-Zeus having-fallen thunderbolt
τηλοῦ δ᾽ Αἰανέης τε καὶ Βεροίης
far and of-Aeane both and of-Beroea
νικηθεὶς Διὸς ὁ δρομεὺς καθεύδει.
conquered by-Zeus the runner sleeps

391. ΒΑΣΣΟΥ ΛΟΛΛΙΟΥ

391 of-Bassus Lollius

Κλειδοῦχοι νεκύων, πάσας Ἄΐδαο κελεύθους
Key-holders of-the-dead all of-Hades roads
φράγνυτε· καὶ στομίοις κλεῖθρα δέχοισθε, πύλαι.
fence and at-mouths bolts may-you-receive gates
αὐτὸς ἐγὼν Ἄΐδας ἐνέπω· Γερμανικὸς ἄστρων,
myself I Hades I-say Germanicus of-stars
οὐκ ἐμός· οὐ χωρεῖ νῆα τόσην Ἀχέρων.
not mine not holds ship so-great Acheron

392. ΗΡΑΚΛΕΙΔΟΥ ΣΙΝΩΠΕΩΣ

392 of-Heraclides of-Sinope

Λαῖλαψ καὶ πολὺ κῦμα καὶ ἀντολαὶ Ἀρκτούροιο,
Storm and much wave and risings of-Arcturus
καὶ σκότος, Αἰγαίου τ' οἶδμα κακὸν πελάγευς,
and darkness of-Aegean and swell evil of-sea
ταῦθ' ἅμα πάνθ' ἐκύκησεν ἐμὴν νέα· τριχθὰ δὲ κλασθεὶς
these together all stirred-up my ship in-three and broken
ἱστὸς ὁμοῦ φόρτῳ κἀμὲ κάλυψε βυθῷ.
mast together with-cargo and-me covered in-the-deep
ναυηγὸν κλαίοιτε παρ' αἰγιαλοῖσι, γονῆες,
shipwrecked may-you-weep by shores parents
Τλησιμένη, κωφὴν στησάμενοι λίθακα.
Tlesimenes deaf having-set-up stone

393. ΔΙΟΚΛΕΟΥΣ ΚΑΡΥΣΤΙΟΥ

393 of-Diocles of-Carystus

Μή με κόνι κρύψητε, τί γάρ; πάλι, μηδ' ἔτι ταύτης
Not me with-dust hide why for again nor still of-this
ἠόνος οὐκ ὀνοτὴν γαῖαν ἐμοὶ τίθετε.
shore not blameworthy earth on-me set
μαίνεται εἴς με θάλασσα, καὶ ἐν χέρσοιό με δειλὸν
rages against me sea and on dry-land me wretched
εὑρίσκει ῥαχίαις· οἶδέ με κἠν Ἀΐδῃ.
finds with-breakers knows me even-in Hades
χέρσῳ ἐπεκβαίνειν εἰ ἐμεῦ χάριν ὕδατι θυμός,
on-land to-step-out if for-my sake for-water desire
†πάρκειμαι σταθερῇ μιμνέμεν ὡς ἄταφος.
I-lie-beside on-steady to-remain as unburied

394. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ

394 of-Philip of-Thessalonica

Μυλεργάτας ἀνήρ με κὴν ζωᾶς χρόνοις
Miller man me even-in of-life times
βαρυβρομήταν εἶχε δινητὸν πέτρον,
heavy-roaring had whirling stone
πυρηφάτον Δάματρος εὐκάρπου λάτριν,
wheat-slaying of-Demeter of-fruitful servant
καὶ κατθανὼν στάλωσε τῷδ' ἐπ' ἠρίῳ,
and having-died set-up this on tomb
σύνθημα τέχνας· ὡς ἔχει μ' ἀεὶ βαρύν,
token of-craft so has me always heavy
καὶ ζῶν ἐν ἔργοις, καὶ θανὼν ἐπ' ὀστέοις.
both living in works and having-died on bones

395. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ

395 of-Marcus Argentarius

Οὗτος ὁ Καλλαίσχρου κενεὸς τάφος, ὃν βαθὺ χεῦμα
This the of-Callaeschrus empty tomb whom deep flood
ἔσφηλεν Λιβυκῶν ἐνδρομέοντα πόρων,
overthrew of-Libyan running-in of-straits
συρμὸς ὅτ' Ὠρίωνος ἀνεστρώφησε θαλάσσης
current when of-Orion upturned of-sea
βένθος ὑπὸ στυγερῆς οἴδματα πανδυσίης.
depth under hateful swells of-setting
καὶ τὸν μὲν δαίσαντο κυκώμενον εἰν ἁλὶ θῆρες,
and him indeed feasted-on whirled in sea beasts
κωφὸν δὲ στήλη γράμμα λέλογχε τόδε.
deaf and stele inscription has-got this

396. ΒΙΑΝΟΡΟΣ ΒΙΘΥΝΟΥ

396 of-Bianor of-Bithynia

Οἰδίποδος παίδων Θήβη τάφος· ἀλλ᾽ ὁ πανώλης
Of-Oedipus of-sons Thebes tomb but the all-destroyed
τύμβος ἔτι ζώντων αἰσθάνεται πολέμων.
tomb still of-living perceives of-wars
κείνους οὔτ᾽ Ἄϊδης ἐδαμάσσατο, κὴν Ἀχέροντι
them neither Hades subdued even-in Acheron
μάρνανται· κείνων χὠ τάφος ἀντίπαλος,
they-fight of-them and-the tomb hostile
καὶ πυρὶ πῦρ ἤλεγξαν ἐναντίον. ὦ ἐλεεινοὶ
and by-fire fire they-confuted opposite O pitiable
παῖδες, ἀκοιμήτων ἁψάμενοι δοράτων.
sons of-sleepless having-grasped spears

397. ΕΡΥΚΙΟΥ ΘΕΤΤΑΛΟΥ

397 of-Erycius of-Thessaly

Οὐχ ὅδε δειλαίου Σατύρου τάφος, οὐδ᾽ ὑπὸ ταύτῃ,
Not this of-wretched of-Satyrus tomb nor under this
ὡς λόγος, εὔνηται πυρκαϊῇ Σάτυρος·
as story is-laid-to-rest pyre Satyrus
ἀλλ᾽ εἴ που τινὰ πόντον ἀκούετε, πικρὸν ἐκεῖνον,
but if anywhere some sea you-hear bitter that
τὸν πέλας αἰγονόμου κλυζόμενον Μυκάλας,
the near of-goat-grazing washed of-Mycale
κείνῳ δινήεντι καὶ ἀτρυγέτῳ ἔτι κεῖμαι
in-that in-whirling and in-barren still I-lie
ὕδατι, μαινομένῳ μεμφόμενος Βορέῃ.
in-water raging blaming North-Wind

398. ΑΝΤΙΠΑΤΡΟΥ

398 of-Antipater

Οὐκ οἶδ' εἰ Διόνυσον ὀνόσσομαι, ἢ Διὸς ὄμβρον
Not I-know if Dionysus I-will-blame or of-Zeus rain
μέμψομ'· ὀλισθηροὶ δ' εἰς πόδας ἀμφότεροι.
I-will-blame slippery and for feet both
ἀγρόθε γὰρ κατιόντα Πολύξενον ἔκ ποτε δαιτὸς
from-field for coming-down Polyxenus from once feast
τύμβος ἔχει γλίσχρων ἐξεριπόντα λόφων·
tomb holds sticky having-fallen-off hills
κεῖται δ' Αἰολίδος Σμύρνης ἑκάς. ἀλλά τις ὄρφνης
lies and of-Aeolian of-Smyrna far but someone of-dark
δειμαίνοι μεθύων ἀτραπὸν ὑετίην.
may-fear drunk path rainy

399. ΑΝΤΙΦΙΛΟΥ

399 of-Antiphilus

Τηλοτάτω χεύασθαι ἔδει τάφον Οἰδιπόδαο
Farthest to-heap it-was-needed tomb of-Oedipus
παισὶν ἀπ' ἀλλήλων, οἷς πέρας οὐδ' Ἀΐδας·
for-sons from one-another for-whom end not-even Hades
ἀλλὰ καὶ εἰς Ἀχέροντος ἕνα πλόον ἠρνήσαντο,
but even to of-Acheron one voyage refused
χὠ στυγερὸς ζώει κἠν φθιμένοισιν Ἄρης.
and-the hateful lives even-among the-dead Ares
ἠνίδε πυρκαϊῆς ἄνισον φλόγα· δαιομένα γὰρ
behold of-pyre unequal flame burning for
ἐξ ἑνὸς εἰς δισσὰν δῆριν ἀποστρέφεται.
from one into double strife is-turned-away

400. ΣΕΡΑΠΙΩΝΟΣ ΑΛΕΞΑΝΔΡΕΩΣ

400 of-Serapion of-Alexandria

Τοῦτ' ὀστεῦν φωτὸς πολυεργέος. ἦ ῥά τις ἦσθα
This bone of-man much-toiling truly then someone you-were
ἔμπορος, ἢ τυφλοῦ κύματος ἰχθυβόλος.
merchant or of-blind of-wave fisherman
ἄγγελον θνητοῖσιν ὅτι σπεύδοντες ἐς ἄλλας
announce to-mortals that hastening to other
ἐλπίδας εἰς τοίην ἐλπίδα λυόμεθα.
hopes into such hope we-are-dissolved

Eunicides' bones are cursed by Crinagoras, and a falling house kills old Lysidice, whose house becomes her tomb. Psyllus the pimp is buried, and travelers are told not to stone his grave since he did not teach the young adultery. Zonas buries a drowned stranger, and Hipponax's tomb is to be passed quietly lest the wasp wake. Euphorion lies at the Piraeus, Sappho, the Muse of Eresus, is honored as equal to the goddesses, Antimachus, Thespis, and Aeschylus are praised, and all Hellas mourns Pylades the singer.

401. ΚΡΙΝΑΓΟΡΟΥ

401 of-Crinagoras

Τήνδ' ὑπὸ δύσβωλον θλίβει χθόνα φωτὸς ἀλιτροῦ
This under clod-heavy presses earth of-man of-sinful
ὀστέα μισητῆς τύμβος ὑπὲρ κεφαλῆς,
bones of-hated tomb over head

στέρνα τ᾽ ἐποκριόεντα, καὶ οὐκ εὔοδμον ὀδόντων
breast both scabby and not sweet-smelling of-teeth
πρίονα, καὶ κώλων δούλιον οἰοπέδην,
saw and of-limbs slavish fetter
ἄτριχα καὶ κόρσην, Εὐνικίδου ἡμιπύρωτα
hairless and temple of-Eunicides half-burned
λείψαν᾽, ἔτι χλωρῆς ἔμπλεα τηκεδόνος.
remains still of-green full of-decay
χθὼν ὦ δυσνύμφευτε, κακοσκήνευς ἐπὶ τέφρης
earth O ill-wedded of-ill-housed over ashes
ἀνδρὸς μὴ κούφη κέκλισο, μηδ᾽ ὀλίγη.
of-man not light lie nor small

402. ΑΝΤΙΠΑΤΡΟΥ

402 of-Antipater

Χειμερίου νιφετοῖο περὶ θριγκοῖσι τακέντος
Of-wintry of-snow around copings having-melted
δῶμα πεσὸν τὴν γραῦν ἔκτανε Λυσιδίκην·
house having-fallen the old-woman killed Lysidice
σῆμα δέ οἱ κωμῆται ὁμώλακες οὐκ ἀπ᾽ ὀρυκτῆς
tomb and for-her villagers of-the-same-furrow not from dug
γαίης, ἀλλ᾽ αὐτὸν πύργον ἔθεντο τάφον.
earth but itself tower set tomb

403. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ

403 of-Marcus Argentarius

Ψύλλος, ὁ τὰς ποθινὰς ἐπιμισθίδας αἰὲν ἑταίρας
Psyllus the(-one) the longed-for hired always courtesans
πέμπων ἐς τὰ νέων ἡδέα συμπόσια,
sending to the of-young sweet drinking-parties
οὗτος ὁ θηρεύων ἀταλόφρονας, ἐνθάδε κεῖται,
this-man the hunting tender-minded here lies
αἰσχρὸν ἀπ' ἀνθρώπων μισθὸν ἐνεγκάμενος.
shameful from men wage having-carried-off
ἀλλὰ λίθους ἐπὶ τύμβον, ὁδοιπόρε, μήτε σὺ βάλλε,
but stones on tomb wayfarer neither you throw
μήτ' ἄλλον πείσῃς· σῆμα λέλογχε νέκυς.
nor other persuade tomb has-got corpse
φείσαι δ' οὐχ ὅτι κέρδος ἐπήνεσεν, ἀλλ' ὅτι κοινὰς
spare but not that gain he-praised but that common
θρέψας, μοιχεύειν οὐκ ἐδίδαξε νέους.
having-reared to-commit-adultery not he-taught young

404. ΖΩΝΑ ΣΑΡΔΙΑΝΟΥ

404 of-Zonas of-Sardis

Ψυχράν σευ κεφαλᾶς ἐπαμήσομαι αἰγιαλῖτιν
Cold of-your of-head I-will-heap shore
θῖνα κατὰ κρυεροῦ χευάμενος νέκυος·
sand over cold having-poured corpse
οὐ γάρ σευ μήτηρ ἐπιτύμβια κωκύουσα
not for your mother at-tomb wailing
εἶδεν ἁλίξαντον σὸν μόρον εἰνάλιον·
saw sea-tossed your doom at-sea

ἀλλὰ σ᾽ ἐρημαῖοί τε καὶ ἄξεινοι πλαταμῶνες
but you lonely both and inhospitable flat-rocks
δέξαντ᾽ Αἰγαίης γείτονες ἠιόνος·
received of-Aegean neighbors of-shore
ὥστ᾽ ἔχε μὲν ψαμάθου μόριον βραχύ, πουλὺ δὲ δάκρυ,
so have indeed of-sand portion small much and tear
ξεῖν᾽, ἐπεὶ εἰς ὀλοὴν ἔδραμες ἐμπορίην.
stranger since into ruinous you-ran trade

405. ΦΙΛΙΠΠΟΥ

405 of-Philip

Ὦ ξεῖνε, φεῦγε τὸν χαλαζεπῆ τάφον
O stranger flee the hail-speaking tomb
τὸν φρικτὸν Ἱππώνακτος, οὗτε χἀ τέφρα
the dreadful of-Hipponax whose even-the ash
ἰαμβιάζει Βουπάλειον ἐς στύγος,
iambizes Bupalian to hatred
μή πως ἐγείρῃς σφῆκα τὸν κοιμώμενον,
lest somehow you-wake wasp the sleeping
ὃς οὐδ᾽ ἐν ᾅδῃ νῦν κεκοίμικεν χόλον,
who not-even in Hades now has-laid-to-sleep wrath
σκάζουσι μέτροις ὀρθὰ τοξεύσας ἔπη.
in-limping in-meters straight having-shot words

406. ΘΕΟΔΩΡΙΔΑ

406 of-Theodoridas

Εὐφορίων, ὁ περισσὸν ἐπιστάμενός τι ποῆσαι,
Euphorion the excessive knowing something to-make
Πειραϊκοῖς κεῖται τοῖσδε παρὰ σκέλεσιν.
in-Piraeus lies these by long-walls
ἀλλὰ σὺ τῷ μύστῃ ῥοιὴν ἢ μῆλον ἄπαρξαι,
but you to-the initiate pomegranate or apple offer
ἢ μύρτον· καὶ γὰρ ζωὸς ἐὼν ἐφίλει.
or myrtle also for living being he-loved

407. ΔΙΟΣΚΟΡΙΔΟΥ

407 of-Dioscorides

Ἥδιστον φιλέουσι νέοις προσανάκλιμ' ἐρώτων,
Sweetest to-loving to-young cushion of-loves
Σαπφώ, σὺν Μούσαις ἦ ῥά σε Πιερίη
Sappho with Muses truly then you Pieria
ἢ Ἑλικὼν εὔκισσος, ἴσα πνείουσαν ἐκείναις,
or Helicon ivy-clad equally breathing to-them
κοσμεῖ, τὴν Ἐρέσῳ Μοῦσαν ἐν Αἰολίδι,
adorns the in-Eresus Muse in Aeolis
ἢ καὶ Ὑμὴν Ὑμέναιος ἔχων εὐφεγγέα πεύκην
or also Hymen Hymenaeus holding bright pine-torch
σὺν σοὶ νυμφιδίων ἵσταθ' ὑπὲρ θαλάμων
with you bridal stands over chambers
ἢ Κινύρεω νέον ἔρνος ὀδυρομένῃ Ἀφροδίτῃ
or of-Cinyras young sprout for-lamenting for-Aphrodite
σύνθρηνος, μακάρων ἱερὸν ἄλσος ὁρᾷς·
fellow-mourner of-blessed holy grove you-see

πάντῃ, πότνια, χαῖρε θεοῖς ἴσα· σὰς γὰρ ἀοιδὰς
everywhere lady farewell to-gods equal your for songs
ἀθανάτων ἄγομεν νῦν ἔτι θυγατέρας.
of-immortals we-hold now still daughters

408. ΛΕΩΝΙΔΑ

408 of-Leonidas

Ἀτρέμα τὸν τύμβον παραμείβετε, μὴ τὸν ἐν ὕπνῳ
Quietly the tomb pass-by not the in sleep
πικρὸν ἐγείρητε σφῆκ' ἀναπαυόμενον.
bitter wake wasp resting
ἄρτι γὰρ Ἱππώνακτος ὁ καὶ τοκέωνε βαΰξας
just for of-Hipponax the even parents having-railed-at
ἄρτι κεκοίμηται θυμὸς ἐν ἡσυχίῃ.
just has-been-laid-to-sleep spirit in quiet
ἀλλὰ προμηθήσασθε· τὰ γὰρ πεπυρωμένα κείνου
but take-care the for fired of-that-one
ῥήματα πημαίνειν οἶδε καὶ εἰν Ἀΐδῃ.
words to-harm knows even in Hades

409. ΑΝΤΙΠΑΤΡΟΥ [ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ]

409 of-Antipater of-Thessalonica

Ὄβριμον ἀκαμάτου στίχον αἴνεσον Ἀντιμάχοιο,
Mighty of-tireless verse praise of-Antimachus
ἄξιον ἀρχαίων ὀφρύος ἡμιθέων,
worthy of-ancient of-brow of-demigods

Πιερίδων χαλκευτὸν ἐπ᾽ ἄκμοσιν, εἰ τορὸν οὖας
of-Pierides forged on anvils if piercing ear
ἔλλαχες, εἰ ζαλοῖς τὰν ἀγέλαστον ὄπα,
you-got if you-envy the unsmiling voice
εἰ τὰν ἄτριπτον καὶ ἀνέμβατον ἀτραπὸν ἄλλοις
if the untrodden and unclimbed path to-others
μαίεαι. εἰ δ᾽ ὕμνων σκᾶπτρον Ὅμηρος ἔχει,
you-seek if and of-hymns scepter Homer holds
καὶ Ζεύς τοι κρέσσων Ἐνοσίχθονος· ἀλλ᾽ Ἐνοσίχθων
also Zeus you-know greater than-Earth-Shaker but Earth-Shaker
τοῦ μὲν ἔφυ μείων, ἀθανάτων δ᾽ ὕπατος·
than-him indeed was less of-immortals but highest
καὶ ναετὴρ Κολοφῶνος ὑπέζευκται μὲν Ὁμήρῳ,
also dweller of-Colophon is-yoked-under indeed to-Homer
ἀγεῖται δ᾽ ἄλλων πλάθεος ὑμνοπόλων.
leads but of-other of-throng of-singers

410. ΔΙΟΣΚΟΡΙΔΟΥ

410 of-Dioscorides

Θέσπις ὅδε, τραγικὴν ὃς ἀνέπλασε πρῶτος ἀοιδὴν
Thespis this tragic who molded first song
κωμήταις νεαρὰς καινοτομῶν χάριτας,
for-villagers new innovating graces
Βάκχος ὅτε τριετῆ κατάγοι χορόν, ᾧ τράγος ἄθλων
Bacchus when triennial led-down chorus for-which goat of-prizes
χὠττικὸς ἦν σύκων ἄρριχος ἆθλον ἔτι.
and-the-Attic was of-figs basket prize still

οἱ δὲ μεταπλάσσουσι νέοι τάδε· μυρίος αἰὼν
the and remold young these countless age
πολλὰ προσευρήσει χἄτερα· τἀμὰ δ' ἐμά.
much will-find-besides also-other the-mine but mine

411. ΤΟΥ ΑΥΤΟΥ

411 of-the same

Θέσπιδος εὕρεμα τοῦτο, τά τ' ἀγροιῶτιν ἀν' ὕλαν
Of-Thespis discovery this the and rustic through wood
παίγνια, καὶ κώμους τούσδε, τελειοτέρους
sports and revels these more-perfect
Αἰσχύλος ἐξύψωσεν, ὁ μὴ σμιλευτὰ χαράξας
Aeschylus exalted the not chiseled having-engraved
γράμματα, χειμάρρῳ δ' οἷα καταρδόμενα,
letters by-torrent but as watered
καὶ τὰ κατὰ σκηνὴν μετεκαίνισεν. ὦ στόμα πάντη
and the on stage renewed O mouth in-every-way
δεξιόν, ἀρχαίων ἦσθά τις ἡμιθέων.
clever of-ancient you-were one of-demigods

412. ΑΛΚΑΙΟΥ ΜΕΣΣΗΝΙΟΥ

412 of-Alcaeus of-Messene

Πᾶσά τοι οἰχομένῳ, Πυλάδη, κωκύεται Ἑλλάς,
All for-you having-gone Pylades bewails Hellas
ἄπλεκτον χαίταν ἐν χροῒ κειραμένα·
unbraided hair to skin having-shorn

αὐτὸς δ᾽ ἀτμήτοιο κόμας ἀπεθήκατο δάφνας
himself and of-uncut of-locks put-off laurel
Φοῖβος, ἑὸν τιμῶν ᾗ θέμις ὑμνοπόλον·
Phoebus his-own honoring as is-right singer
Μοῦσαι δ᾽ ἐκλαύσαντο· ῥόον δ᾽ ἔστησεν ἀκούων
Muses and wept stream and stopped hearing
Ἀσωπὸς γοερῶν ἦχον ἀπὸ στομάτων·
Asopus of-mournful sound from mouths
ἔλληξεν δὲ μέλαθρα Διωνύσοιο χορείης,
ceased and halls of-Dionysus from-dance
εὖτε σιδηρείην οἶμον ἔβης Ἀΐδεω.
when iron road you-went of-Hades

Hipparchia the Cynic chose the wallet, the staff, and the life of the Cynics over women's fine clothes. Rhinthon of the farces speaks from his tomb, the passer-by is told he walks by Callimachus' tomb, and Meleager, son of Eucrates, of Gadara, Tyre, and Cos, greets the passer-by in Syrian, Phoenician, and Greek. Hopes are light goddesses, or they would not have let Hades take Lesbon. Meleager's tomb is explained by its emblems, as are others: a knucklebone for Peisistratus of Chios, a jay, a cup, bows, wools, and a headband for Bittis, and reins, a muzzle, and a cock for Lysidice.

413. ΑΝΤΙΠΑΤΡΟΥ

413 of-Antipater

Οὐχὶ βαθυστόλμων Ἱππαρχία ἔργα γυναικῶν,
Not of-deep-robed Hipparchia works of-women
τῶν δὲ Κυνῶν ἑλόμαν ῥωμαλέον βίοτον·
the but of-Cynics I-chose vigorous life
οὐδέ μοι ἀμπεχόναι περονήτιδες, οὐ βαθύπελμος
nor to-me cloaks brooch-fastened not deep-soled
εὐμαρίς, οὐ λιπόων εὔαδε κεκρύφαλος·
slipper not greasy pleased hairnet
οὐλὰς δὲ σκίπωνι συνέμπορος, ἅ τε συνῳδὸς
wallet but with-staff fellow-traveler which and in-harmony
δίπλαξ, καὶ κοίτας βλῆμα χαμαιλεχέος.
double-cloak and of-bed cover strewn-on-ground
ἄμμι δὲ Μαιναλίας κάρρων †ἄμιν Ἀταλάντας
to-us and of-Maenalian better (corrupt) of-Atalanta
τόσσον, ὅσον σοφία κρέσσον ὀριδρομίας.
so-much as-much-as wisdom better than-mountain-running

414. ΝΟΣΣΙΔΟΣ ΤΗΣ ΜΕΛΟΠΟΙΟΥ

414 of-Nossis the lyric-poet

Καὶ καπυρὸν γελάσας παραμείβεο, καὶ φίλον εἰπὼν
Both loudly having-laughed pass-by and dear having-said
ῥῆμ᾽ ἐπ᾽ ἐμοί. Ῥίνθων εἴμ᾽ ὁ Συρακόσιος,
word over me Rhinthon I-am the Syracusan
Μουσάων ὀλίγη τις ἀηδονίς· ἀλλὰ φλυάκων
of-Muses small some nightingale but of-farces
ἐκ τραγικῶν ἴδιον κισσὸν ἐδρεψάμεθα.
from tragic own ivy we-plucked

415. ΚΑΛΛΙΜΑΧΟΥ

415 of-Callimachus

Βαττιάδεω παρὰ σῆμα φέρεις πόδας, εὖ μὲν ἀοιδὴν
Of-Battiades by tomb you-bear feet well indeed song
εἰδότος, εὖ δ᾽ οἴνῳ καίρια συγγελάσαι.
knowing well and over-wine timely to-laugh-with

416. ΑΛΛΟ

416 another

Εὐκράτεω Μελέαγρον ἔχω, ξένε, τὸν σὺν Ἔρωτι
Of-Eucrates Meleager I-hold stranger the with Love
καὶ Μούσαις κεράσανθ᾽ ἡδυλόγους Χάριτας.
and Muses having-mingled sweet-spoken Graces

417. ΜΕΛΕΑΓΡΟΥ

417 of-Meleager

Νᾶσος ἐμὰ θρέπτειρα Τύρος· πάτρα δέ με τεκνοῖ
Island my nurse Tyre fatherland and me begets
Ἀτθὶς ἐν Ἀσσυρίοις ναιομένα, Γάδαρα·
Attic in Assyrians inhabited Gadara
Εὐκράτεω δ' ἔβλαστον ὁ σὺν Μούσαις Μελέαγρος
of-Eucrates and I-sprang the with Muses Meleager
πρῶτα Μενιππείοις συντροχάσας Χάρισιν.
first with-Menippean having-run-with Graces
εἰ δὲ Σύρος, τί τὸ θαῦμα; μίαν, ξένε, πατρίδα κόσμον
if but Syrian what the wonder one stranger fatherland world
ναίομεν· ἓν θνατοὺς πάντας ἔτικτε Χάος.
we-dwell one mortals all bore Chaos
πουλυετὴς δ' ἐχάραξα. τάδ' ἐν δέλτοισι πρὸ τύμβου·
many-yeared and I-engraved these in tablets before tomb
γήρως γὰρ γείτων ἐγγύθεν Ἀΐδεω.
of-old-age for neighbor near of-Hades
ἀλλά με τὸν λαλιὸν καὶ πρεσβύτην προτιειπὼν
but me the chattering and old-man having-addressed
χαίρειν, εἰς γῆρας καὐτὸς ἵκοιο λάλον.
to-fare-well to old-age you-too may-you-come chattering

418. ΤΟΥ ΑΥΤΟΥ

418 of-the same

Πρώτα μοι Γαδάρων κλεινὰ πόλις ἔπλετο πάτρα,
First to-me of-Gadara famous city was fatherland
ἤνδρωσεν δ' ἱερὰ δεξαμένα με Τύρος·
raised-to-manhood and holy having-received me Tyre

εἰς γῆρας δ' ὅτ' ἔβην, ἁ καὶ Δία θρεψαμένα Κῶς
to old-age and when I-came the also Zeus having-reared Cos
κἀμὲ θετὸν Μερόπων ἀστὸν ἐγηροτρόφει.
and-me adopted of-Meropes citizen nursed-in-old-age
Μοῦσαι δ' εἰν ὀλίγοις με, τὸν Εὐκράτεω Μελέαγρον
Muses and in few me the of-Eucrates Meleager
παῖδα, Μενιππείοις ἠγλάϊσαν Χάρισιν.
son with-Menippean adorned Graces

419. ΤΟΥ ΑΥΤΟΥ

419 of-the same

Ἀτρέμας, ὦ ξένε, βαῖνε· παρ' εὐσεβέσιν γὰρ ὁ πρέσβυς
Quietly O stranger walk among pious for the old-man
εὕδει, κοιμηθεὶς ὕπνον ὀφειλόμενον,
sleeps having-been-laid-to-sleep sleep owed
Εὐκράτεω Μελέαγρος, ὁ τὸν γλυκύδακρυν Ἔρωτα
of-Eucrates Meleager the(-one) the sweet-tearful Love
καὶ Μούσας ἱλαραῖς συστολίσας Χάρισιν·
and Muses with-cheerful having-equipped with-Graces
ὃν θεόπαις ἤνδρωσε Τύρος Γαδάρων θ' ἱερὰ χθών·
whom god-child raised-to-manhood Tyre of-Gadara and holy land
Κῶς δ' ἐρατὴ Μερόπων πρέσβυν ἐγηροτρόφει.
Cos and lovely of-Meropes old-man nursed-in-old-age
ἀλλ' εἰ μὲν Σύρος ἐσσί, Σαλάμ·
but if indeed Syrian you-are Salam
εἰ δ' οὖν σύ γε Φοῖνιξ,
if but then you indeed Phoenician
Ναίδιος· εἰ δ' Ἕλλην, Χαῖρε· τὸ δ' αὐτὸ φράσον.
Naidius if but Greek Chaire the and same say

420. ΔΙΟΤΙΜΟΥ ΑΘΗΝΑΙΟΥ

420 of-Diotimus of-Athens

Ἐλπίδες ἀνθρώπων, ἐλαφραὶ θεαί — οὐ γὰρ ἂν ὧδε
Hopes of-men light goddesses not for — so
Λέσβον᾽ ὁ λυσιμελὴς ἀμφεκάλυψ᾽ Ἀΐδης,
Lesbon the limb-loosening would-have-covered-over Hades
ὃς ποτε καὶ βασιλῇϊ συνέδραμε, — ναὶ μετ᾽ Ἐρώτων
who once even with-king ran-together yes with Loves
χαίρετε κουφόταται δαίμονες ἀθανάτων.
farewell lightest gods of-immortals
αὐλοὶ δ᾽ ἄφθεγκτοι καὶ ἀπευθέες, οἷς ἐνέπνευσε,
pipes and voiceless and unheeding which he-breathed-into
κεῖσθ᾽, ἐπεὶ οὐ θιάσους… οἶδ᾽ Ἀχέρων.
lie since not revels knows Acheron

Αἰνιγματῶδες

Riddling

421. ΜΕΛΕΑΓΡΟΥ

421 of-Meleager

Πτανέ, τί σοι σιβύνης, τί δὲ καὶ συὸς εὔαδε δέρμα;
Winged what to-you of-hunting-spear what and also of-boar pleased skin
καὶ τίς ἐὼν στάλας σύμβολον ἐσσὶ τίνος;
and who being of-stele token you-are of-whom

οὐ γὰρ Ἔρωτ᾽ ἐνέπω σε — τί γάρ; νεκύεσσι πάροικος
not for Love I-call you what for to-the-dead neighbor
ἵμερος; αἰάζειν ὁ θρασὺς οὐκ ἔμαθεν —
desire to-lament the bold not learned
οὐδὲ μὲν οὐδ᾽ αὐτὸν ταχύπουν Κρόνον· ἔμπαλι γὰρ δὴ
nor indeed nor himself swift-footed Cronus opposite for indeed
κεῖνος μὲν τριγέρων, σοὶ δὲ τέθηλε μέλη.
he indeed thrice-old to-you but flourish limbs
ἀλλ᾽ ἄρα, ναὶ δοκέω γάρ, ὁ γᾶς ὑπένερθε σοφιστὰς
but then yes I-think for the of-earth below sophist
ἐστί· σὺ δ᾽ ὁ πτερόεις, τοὔνομα τοῦδε, λόγος.
is you and the winged the-name of-him word
Λατῴας δ᾽ ἄμφηκες ἔχεις γέρας, ἔς τε γέλωτα
of-Leto's and two-edged you-have honor to both laughter
καὶ σπουδάν, καί που μέτρον ἐρωτογράφον.
and seriousness and somewhere meter love-writing
ναὶ μὲν δὴ Μελέαγρον ὁμώνυμον Οἰνέος υἱῷ
yes indeed truly Meleager namesake of-Oeneus to-son
σύμβολα σημαίνει ταῦτα συοκτασίης.
tokens signify these of-boar-slaying
χαῖρε καὶ ἐν φθιμένοισιν, ἐπεὶ καὶ Μοῦσαν Ἔρωτι
farewell even among the-dead since both Muse with-Love
καὶ Χάριτας σοφίαν εἰς μίαν ἡρμόσαο.
and Graces wisdom into one you-fitted

422. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ

422 of-Leonidas of-Tarentum

Τί στοχασώμεθά σου, Πεισίστρατε, χῖον ὁρῶντες
What shall-we-guess of-you Peisistratus Chian seeing
γλυπτὸν ὑπὲρ τύμβου κείμενον ἀστράγαλον;
carved over tomb lying knucklebone
ἦ ῥά γε μὴ ὅτι Χῖος; ἔοικε γάρ· ἢ ῥ' ὅτι παίκτας
truly then indeed not that Chian it-seems for or then that player
ἦσθά τις, οὐ λίην δ', ὦ 'γαθέ, πλειστοβόλος;
you-were some not very and O good-man lucky-thrower
ἢ τὰ μὲν οὐδὲ σύνεγγυς, ἐν ἀκρήτῳ δὲ κατέσβης
or these indeed not-even near in unmixed but you-were-quenched
Χίῳ; ναὶ δοκέω, τῷδε προσηγγίσαμεν.
in-Chian yes I-think to-this we-have-come-near

423. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

423 of-Antipater of-Sidon

Τὰν μὲν ἀεὶ πολύμυθον, ἀεὶ λάλον, ὦ ξένε, κίσσα
The indeed always much-talking always chattering O stranger jay
φάσει, τὰν δὲ μέθας σύντροφον ἅδε κύλιξ,
will-say the and of-drink nurseling this cup
τὰν Κρῆσσαν δὲ τὰ τόξα, τὰ δ' εἴρια τὰν φιλοεργόν,
the Cretan and the bows the and wools the industrious
ἄνδεμα δ' αὖ μίτρας τὰν πολιοκρόταφον·
band and in-turn of-headband the gray-templed
τοιάνδε σταλοῦχος ὅδ' ἔκρυφε Βιττίδα τύμβος
such stele-holding this bid Bittis tomb
†τιμελάχραντον νυμφιδίαν ἄλοχον.
(corrupt) bridal wife

ἀλλ᾽, ὦνερ, καὶ χαῖρε, καὶ οἰχομένοισιν ἐς ᾍδαν
but O-man both farewell and to-departed to Hades
τὰν αὐτὰν μύθων αὖθις ὄπαζε χάριν.
the same of-words again grant grace

424. ΤΟΥ ΑΥΤΟΥ

424 of-the same

— Μαστεύω τί σευ Ἄγις ἐπὶ σταλίτιδι πέτρᾳ,
I-seek why of-you Agis on stele stone
Λυσιδίκα, γλυπτὸν τόνδ᾽ ἐχάραξε νόον·
Lysidice carved this engraved device
ἀνία γὰρ καὶ κημός, ὃ τ᾽ εὐόρνιθι Τανάγρᾳ
reins for and muzzle the and in-well-birded Tanagra
οἰωνὸς βλαστῶν, θοῦρος ἐγερσιμάχας,
bird sprouting impetuous battle-rousing
οὐχ ἅδεν οὐδ᾽ ἐπέοικεν ὑπωροφίαισι γυναιξίν,
not pleased nor befits to-house-keeping women
ἀλλὰ τὰ τ᾽ ἠλακάτας ἔργα τά θ᾽ ἱστοπόδων.
but the and of-distaff works the and of-loom-uprights
— Τὰν μὲν ἀνεγρομέναν με ποτ᾽ εἴρια νύκτερος ὄρνις,
The indeed rising me toward wools nocturnal bird
ἀνία δ᾽ αὐδάσει δώματος ἀνίοχον·
reins and will-proclaim of-house charioteer
ἱππαστὴρ δ᾽ ὅδε κημὸς ἀείσεται οὐ πολύμυθον,
horse-guiding and this muzzle will-sing not much-talking
οὐ λάλον, ἀλλὰ καλᾶς ἔμπλεον ἀσυχίας.
not chattering but of-fair full of-quiet

Antipater's emblems go on: a whip, an owl, a bow, a goose, and a dog on Myro's tomb show her household virtues, a lion marks Teleutias' courage, and nine knucklebones riddle out a young man of Chios named Alexander. Meleager explains the cock, palm, scepter, and knucklebone on the tomb of Antipater of Sidon. Alcaeus solves the riddle of two phis, which spell Phidis. The Spartan fights at Thyrea follow: in Dioscorides the dying Othryades writes the victory in his blood on a shield, the three hundred speak their own epitaph, and Damagetus' Gyllis dies after killing three Argives.

425. ΤΟΥ ΑΥΤΟΥ

425 of-the same

Μὴ θάμβει, μάστιγα Μυροῦς ἐπὶ σάματι λεύσσων,
Not marvel-at whip of-Myro on tomb seeing
γλαῦκα, βιόν, χαροπὰν χᾶνα, θοὰν σκύλακα.
owl bow bright-eyed goose swift puppy
τόξα μὲν αὐδάσει με πανεύτονον ἁγέτιν οἴκου,
bows indeed will-say me well-strung leader of-house
ἁ δὲ κύων τέκνων γνήσια καδομέναν·
the and dog of-children genuinely caring
μάστιξ δ' οὐκ ὀλοάν, ξένε, δεσπότιν, οὐδ' ἀγέρωχον
whip and not cruel stranger mistress nor arrogant
δμωσί, κολάστειραν δ' ἔνδικον ἀμπλακίας·
to-slaves chastiser but just of-fault
χὰν δὲ δόμων φυλακᾶς μελεδήμονα·
goose and of-house of-guard caring
τὰν δ' ἄρ' ἄγρυπνον
the and then sleepless
γλαῦξ ἅδε γλαυκᾶς Παλλάδος ἀμφίπολον.
owl this of-gray-eyed of-Pallas servant

τοιοῖσδ᾽ ἀμφ᾽ ἔργοισιν ἐγάθεον· ἔνθεν ὅμευνος
in-such about works I-delighted whence husband
τοιάδ᾽ ἐμᾷ στάλᾳ σύμβολα τεῦξε Βίτων.
such on-my on-stele tokens made Biton

426. ΤΟΥ ΑΥΤΟΥ

426 of-the same

— Εἰπέ, λέων, φθιμένοιο τίνος τάφον ἀμφιβέβηκας,
Tell lion of-perished of-whom tomb you-bestride
βουφάγε; τίς τᾶς σᾶς ἄξιος ἦν ἀρετᾶς;
ox-eater who of-the your worthy was of-valor
— Υἱὸς Θευδώροιο Τελευτίας, ὃς μέγα πάντων
Son of-Theodorus Teleutias who greatly than-all
φέρτερος ἦν, θηρῶν ὅσσον ἐγὼ κέκριμαι.
mightier was than-beasts as-much-as I am-judged
οὐχὶ μάταν ἕστακα, φέρω δέ τι σύμβολον ἀλκᾶς
not in-vain I-stand I-bear and some token of-might
ἀνέρος· ἦν γὰρ δὴ δυσμενέεσσι λέων.
of-the-man he-was for indeed to-foes lion

427. ΤΟΥ ΑΥΤΟΥ

427 of-the same

Ἁ στάλα, φέρ᾽ ἴδω, τίν᾽ ἔχει νέκυν. ἀλλὰ δέδορκα
The stele come let-me-see what holds corpse but I-see
γράμμα μὲν οὐδέν πω τμαθὲν ὕπερθε λίθου,
letter indeed none yet cut above stone

ἐννέα δ᾽ ἀστραγάλους πεπτηότας· ὧν πίσυρες μὲν
nine and knucklebones fallen of-which four indeed
πρῶτοι Ἀλεξάνδρου μαρτυρέουσι βόλον,
first of-Alexander bear-witness throw
οἱ δὲ τὸ τᾶς νεότατος ἐφήλικος ἄνθος, Ἔφηβον,
they and the of-the youth of-age-mate flower Ephebe
εἷς δ᾽ ὅ γε μανύει Χῖον ἀφαυρότερον.
one and he indeed shows Chian more-feeble
ἦ ῥα τόδ᾽ ἀγγέλλοντι, καὶ ὁ σκάπτροισι μεγαυχὴς
truly then this they-announce both the with-scepters boastful
χὠ θάλλων ἥβᾳ τέρμα τὸ μηδὲν ἔχει;
and-the flourishing in-youth end the nothing has
ἢ τὸ μὲν οὔ· δοκέω δὲ ποτὶ σκοπὸν ἰθὺν ἐλάσσειν
or this indeed no I-think but at mark straight to-drive
ἰόν, Κρηταιεὺς ὥς τις ὀϊστοβόλος.
arrow Cretan as some archer
ἦς ὁ θανὼν Χῖος μέν, Ἀλεξάνδρου δὲ λελογχὼς
was the having-died Chian indeed of-Alexander and having-gotten
οὔνομ᾽, ἐφηβαίῃ δ᾽ ὤλετ᾽ ἐν ἁλικίᾳ.
name in-youthful and perished in age
ὡς εὖ τὸν φθίμενον νέον ἄκριτα καὶ τὸ κυβευθὲν
how well the dead young indiscriminately and the thrown
πνεῦμα δι᾽ ἀφθέγκτων εἶπέ τις ἀστραγάλων.
breath through voiceless said someone knucklebones

428. ΜΕΛΕΑΓΡΟΥ

428 of-Meleager

Εἰς Ἀντίπατρον τὸν Σιδώνιον

On Antipater the Sidonian

Ἁ στάλα, σύνθημα τί σοι γοργωπὸς ἀλέκτωρ
The stele token why to-you fierce-eyed cock
ἕστα, καλλαΐνᾳ σκαπτοφόρος πτέρυγι,
stands with-blue scepter-bearing with-wing
ποσσὶν ὑφαρπάζων Νίκας κλάδον; ἄκρα δ' ἐπ' αὐτᾶς
with-feet snatching of-Victory branch top and on very
βαθμῖδος προπεσὼν κέκλιται ἀστράγαλος.
of-step having-fallen-forward is-tilted knucklebone
ἦ ῥά γε νικάεντα μάχᾳ σκαπτοῦχον ἄνακτα
truly then indeed victorious in-battle scepter-bearing king
κρύπτεις; ἀλλὰ τί σοι παίγνιον ἀστράγαλος;
you-hide but why to-you plaything knucklebone
πρὸς δέ, τί λιτὸς ὁ τύμβος; ἐπιπρέπει ἀνδρὶ πενιχρῷ,
besides and why simple the tomb befits to-man to-poor
ὄρνιθος κλαγγαῖς νυκτὸς ἀνεγρομένῳ.
of-bird by-crowings of-night waking
οὐ δοκέω· σκᾶπτρον γὰρ ἀναίνεται. ἀλλὰ σὺ κεύθεις
not I-think scepter for refuses but you hide
ἀθλοφόρον, νίκαν ποσσὶν ἀειράμενον.
prize-bearing victory with-feet having-lifted
οὐ ψαύω καὶ τῇδε· τί γὰρ ταχὺς εἴκελος ἀνὴρ
not I-touch also here why for swift like man
ἀστραγάλῳ; νῦν δὴ τὠτρεκὲς ἐφρασάμαν·
to-knucklebone now indeed the-truth I-perceived

φοῖνιξ οὐ νίκαν ἐνέπει, πάτραν δὲ μεγαυχῆ
palm not victory says fatherland but proud
ματέρα Φοινίκων, τὰν πολύπαιδα Τύρον·
mother of-Phoenicians the much-childed Tyre
ὄρνις δ', ὅττι γεγωνὸς ἀνήρ, καί που περὶ Κύπριν
bird and because loud-voiced man and somewhere about Cypris
πρᾶτος κὴν Μούσαις ποικίλος ὑμνοθέτας.
first even-among Muses various hymn-maker
σκᾶπτρα δ' ἔχει σύνθημα λόγου· θνάσκειν δὲ πεσόντα
scepter and has token of-speech to-die and having-fallen
οἰνοβρεχῆ, προπετὴς ἐννέπει ἀστράγαλος.
wine-soaked fallen-forward says knucklebone
καὶ δὴ σύμβολα ταῦτα· τὸ δ' οὔνομα πέτρος ἀείδει,
and indeed tokens these the and name stone sings
Ἀντίπατρον προγόνων, φύντ' ἀπ' ἐρισθενέων.
Antipater ancestors born from very-mighty

429. ΑΛΚΑΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ

429 of-Alcaeus of-Mitylene

Δίζημαι κατὰ θυμὸν ὅτου χάριν ἁ παροδῖτις
I-seek in mind of-what for-sake the wayside
δισσάκι φῖ μοῦνον γράμμα λέλογχε πέτρος,
twice phi only letter has-got stone
λαοτύποις σμίλαις κεκολαμμένον. ἆρα γυναικὶ
with-stone-cutting with-chisels engraved then to-woman
τᾷ χθονὶ κευθομένᾳ Χιλιὰς ἦν ὄνομα;
the in-earth hidden Chilias was name
τοῦτο γὰρ ἀγγέλλει κορυφούμενος εἰς ἓν ἀριθμός.
this for announces summed into one number

ἢ τὸ μὲν εἰς ὀρθὰν ἀτραπὸν οὐκ ἔμολεν,
or the indeed into straight path not came
ἁ δ' οἰκτρὸν ναίουσα τόδ' ἠρίον ἔπλετο Φιδίς;
she and piteously dwelling this tomb was Phidis
νῦν Σφιγγὸς γρίφους Οἰδίπος ἐφρασάμην.
now of-Sphinx riddles Oedipus I-perceived
αἰνετὸς οὐκ δισσοῖο καμὼν αἴνιγμα τύποιο,
praiseworthy the(-one)-from of-double having-wrought riddle of-letter
φέγγος μὲν ξυνετοῖς, ἀξυνέτοις δ' ἔρεβος
light indeed to-understanding to-not-understanding but darkness

430. ΔΙΟΣΚΟΡΙΔΟΥ

430 of-Dioscorides

Τίς τὰ νεοσκύλευτα ποτὶ δρυΐ τᾷδε καθᾶψεν
Who the freshly-stripped on oak this hung
ἔντεα; τῷ πέλτα Δωρὶς ἀναγράφεται;
arms on-which shield Dorian is-inscribed
πλάθει γὰρ Θυρεᾶτις ὑφ' αἵματος ἅδε λοχιτᾶν,
is-full for Thyreatis with blood this of-soldiers
χἀμὲς ἀπ' Ἀργείων τοὶ δύο λειπόμεθα.
and-we from Argives the two are-left
πάντα νέκυν μάστευε δεδουπότα, μή τις, ἔτ' ἔμπνους
every corpse search fallen lest anyone still breathing
λειπόμενος, Σπάρτᾳ κῦδος ἔλαμψε νόθον.
left for-Sparta glory made-shine bastard
ἴσχε βάσιν. νίκα γὰρ ἐπ' ἀσπίδος ὧδε Λακώνων
stop step victory for on shield thus of-Laconians
φωνεῖται θρόμβοις αἵματος Ὀθρυάδα,
is-proclaimed by-clots of-blood of-Othryades

χὠ τόδε μοχθήσας σπαίρει πέλας. ἆ πρόπατορ Ζεῦ,
and-he-who this having-toiled gasps near ah forefather Zeus
στύξον ἀνικάτω σύμβολα φυλόπιδος.
hate of-unconquered tokens of-battle

431. ΑΔΗΛΟΝ, οἱ δὲ ΣΙΜΩΝΙΔΟΥ

431 uncertain the(-others) and of-Simonides

Οἵδε τριηκόσιοι, Σπάρτα πατρί, τοῖς συναρίθμοις
These three-hundred Sparta fatherland with-the equal-numbered
Ἰναχίδαις Θυρέαν ἀμφὶ μαχεσσάμενοι,
with-Inachids Thyrea about having-fought
αὐχένας οὐ στρέψαντες, ὅπᾳ ποδὸς ἴχνια πρῶτον
necks not having-turned where of-foot tracks first
ἁρμόσαμεν, ταύτᾳ καὶ λίπομεν βιοτάν.
we-fitted there and left life
ἄρσενι δ' Ὀθρυάδαο φόνῳ κεκαλυμμένον ὅπλον
manly and of-Othryades with-slaughter covered shield
καρύσσει· "Θυρέα, Ζεῦ, Λακεδαιμονίων."
proclaims Thyrea Zeus of-Lacedaemonians
αἰ δέ τις Ἀργείων ἔφυγεν μόρον, ἦς ἀπ' Ἀδράστου·
if but any of-Argives escaped doom he-was of Adrastus
Σπάρτᾳ δ' οὐ τὸ θανεῖν, ἀλλὰ φυγεῖν θάνατος.
for-Sparta but not the to-die but to-flee death

432. ΔΑΜΑΓΗΤΟΥ

432 of-Damagetus

῾Ω Λακεδαιμόνιοι, τὸν ἀρήϊον ὔμμιν ὁ τύμβος
O Lacedaemonians the warlike for-you the tomb
Γύλλιν ὑπὲρ Θυρέας οὗτος ἔχει φθίμενον,
Gyllis for Thyrea this holds having-perished
ἄνδρας ὃς Ἀργείων τρεῖς ἔκτανε, καὶ τόδ᾽ ἔειπεν·
men who of-Argives three killed and this said
"Τεθναίην Σπάρτας ἄξια μησάμενος."
May-I-die of-Sparta worthy having-devised

EPIGRAMS 433–450

A Spartan mother kills her son Demetrius for breaking the laws, Demaenete buries her eight sons without tears, and the six sons of Iphicratidas die before Messene, their ashes carried home by Gylippus. A thousand Spartans who held back the Persian myriads, Leonidas at Thermopylae, and young Machatas are honored. Pylius dies young, and Aristocrates, a gentle and generous host, is mourned. Archilochus mourns two pillars of Naxos, and Simonides honors those who died for Tegea. Eighty slaves and free men die in Antagoras' house fire, and Hades knows each one. Two woodcutters, Zoilus, the laconic Theris, Pratalidas the hunter and lover, and Philaenis, who denies she wrote the shameless book, close the section.

433. ΤΥΜΝΕΩ

433 of-Tymnes

Τὸν παραβάντα νόμους Δαμάτριον ἔκτανε μάτηρ
The having-transgressed laws Demetrius killed mother
ἁ Λακεδαιμονία τὸν Λακεδαιμόνιον.
the Lacedaemonian the Lacedaemonian

θηκτὸν δ' ἐν προβολᾷ θεμένα ξίφος, εἶπεν, ὀδόντα
sharpened and in thrust having-set sword said tooth
ὀξὺν ἐπιβρύκουσ', οἷα Λάκαινα γυνά·
sharp grinding as Laconian woman
" Ἔρρε κακὸν σκυλάκευμα, κακὰ μερίς, ἔρρε ποθ' ᾅδαν,
Begone evil whelp evil portion begone to Hades
ἔρρε· τὸν οὐ Σπάρτας ἄξιον οὐδ' ἔτεκον."
begone him not of-Sparta worthy not-even I-bore

434. ΔΙΟΣΚΟΡΙΔΟΥ

434 of-Dioscorides

Εἰς δηΐων πέμψασα λόχους Δημαινέτη ὀκτὼ
Into of-enemies having-sent companies Demaenete eight
παῖδας, ὑπὸ στήλῃ πάντας ἔθαπτε μιᾷ.
sons under stele all buried one
δάκρυα δ' οὐκ ἔρρηξ' ἐπὶ πένθεσιν· ἀλλὰ τόδ' εἶπεν
tears but not she-burst-into at griefs but this said
μοῦνον· " Ἰώ, Σπάρτα, σοὶ τέκνα ταῦτ' ἔτεκον."
only Ho Sparta for-you children these I-bore

435. ΝΙΚΑΝΔΡΟΥ

435 of-Nicander

Εὐπυλίδας, Ἐράτων, Χαῖρις, Λύκος, Ἄγις, Ἀλέξων,
Eupylidas Eraton Chaeris Lycus Agis Alexon
ἓξ Ἰφικρατίδα παῖδες, ἀπωλόμεθα
six of-Iphicratidas sons we-perished
Μεσσάνας ὑπὸ τεῖχος· ὁ δ' ἕβδομος ἄμμε Γύλιππος
of-Messene under wall the and seventh us Gylippus
ἐν πυρὶ θεὶς μεγάλαν ἦλθε φέρων σποδιάν,
in fire having-set great came carrying ash
Σπάρτᾳ μὲν μέγα κῦδος, Ἀλεξίππᾳ δὲ μέγ' ἄχθος
for-Sparta indeed great glory for-Alexippa but great grief
ματρί· τὸ δ' ἓν πάντων καὶ καλὸν ἐντάφιον.
for-mother the and one of-all and fair shroud

436. ΗΓΗΜΟΝΟΣ

436 of-Hegemon

Εἴποι τις παρὰ τύμβον ἰὼν ἀγέλαστος ὁδίτας
Might-say someone by tomb going unsmiling wayfarer
τοῦτ' ἔπος· "Ὀγδώκοντ' ἐνθάδε μυριάδας
this word Eighty here myriads
Σπάρτας χίλιοι ἄνδρες ἐπέσχον λήματι Περσῶν,
of-Sparta thousand men held-back by-spirit of-Persians
καὶ θάνον ἀστρεπτεί· Δώριος ἁ μελέτα."
and died without-turning Dorian the training

437. ΦΑΕΝΝΟΥ

437 of-Phaennus

Οὐκ ἔτλας, ὥριστε Λεωνίδα, αὖτις ἱκέσθαι
Not you-endured O-best Leonidas again to-reach
Εὐρώταν, χαλεπῷ σπερχόμενος πολέμῳ·
Eurotas by-harsh being-pressed by-war
ἀλλ᾽ ἐπὶ Θερμοπύλαισι τὸ Περσικὸν ἔθνος ἀμύνων
but at Thermopylae the Persian nation warding-off
ἐδμάθης, πατέρων ἁζόμενος νόμιμα.
you-were-subdued of-fathers revering customs

438. ΔΑΜΑΓΗΤΟΥ

438 of-Damagetus

Ὄλεο δὴ πατέρων περὶ λῃΐδα καὶ σύ, Μαχάτα,
You-perished indeed of-fathers for plunder also you Machatas
δριμὺν ἐπ᾽ Αἰτωλοῖς ἀντιφέρων πόλεμον,
fierce against Aetolians bearing-against war
πρωθήβας· χαλεπὸν γὰρ Ἀχαιϊκὸν ἄνδρα νοῆσαι
in-first-youth hard for Achaean man to-perceive
ἄλκιμον, εἰς πολιὰν ὅστις ἔμεινε τρίχα.
valiant to gray who remained hair

439. ΘΕΟΔΩΡΙΔΑ

439 of-Theodoridas

Οὕτω δὴ Πύλιον τὸν Ἀγήνορος, ἄκριτε Μοῖρα,
So indeed Pylius the of-Agenor undiscerning Fate
πρωΐον ἐξ ἥβας ἔθρισας Αἰολέων,
early from youth you-cropped of-Aeolians

κῆρας ἐπισσεύσασα, βίου κύνας. ὦ πόποι, ἀνὴρ
dooms having-set-on of-life hounds O gods man
οἷος ἀμειδήτῳ κεῖται ἕλωρ Ἀΐδῃ.
what-a to-unsmiling lies prey to-Hades

440. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ

440 of-Leonidas of-Tarentum

Ἠρίον, οἷον νυκτὶ καταφθιμένοιο καλύπτεις
Tomb what-a by-night having-perished you-cover
ὀστέον, οἵην, γαῖ', ἀμφέχανες κεφαλήν,
bone what-a earth you-gaped-around head
πολλὸν μὲν ξανθαῖσιν ἀρεσκομένου Χαρίτεσσι,
much indeed with-golden pleasing with-Graces
πολλοῦ δ' ἐν μνήμῃ πᾶσιν Ἀριστοκράτευς.
much and in memory to-all of-Aristocrates
ᾔδει Ἀριστοκράτης καὶ μείλιχα δημολογῆσαι,
knew Aristocrates also gently to-speak-to-the-people
[στρεβλὴν οὐκ ὀφρὺν ἐσθλὸς ἐφελκόμενος·
twisted not brow noble drawing-on
ᾔδει καὶ Βάκχοιο παρὰ κρητῆρος ἄδηριν]
knew also of-Bacchus by bowl without-strife
ἰθῦναι κείνην εὐκύλικα λαλιήν·
to-steer that cup-loving talk
ᾔδει καὶ ξείνοισι καὶ ἐνδήμοισι προσηνέα
knew also to-strangers and to-townsmen kind
ἔρδειν. γαῖ' ἐρατή, τοῖον ἔχεις φθίμενον.
to-act earth lovely such you-have having-perished

441. ΑΡΧΙΛΟΧΟΥ

441 of-Archilochus

Ὑψηλοὺς Μεγάτιμον Ἀριστοφόωντά τε Νάξου
Lofty Megatimus Aristophon and of-Naxos
κίονας, ὦ μεγάλη γαῖ', ὑπένερθεν ἔχεις.
pillars O great earth below you-hold

442. ΣΙΜΩΝΙΔΟΥ

442 of-Simonides

Εὐθυμάχων ἀνδρῶν μνησώμεθα, τῶν ὅδε τύμβος,
Of-straight-fighting of-men let-us-remember of-whom this tomb
οἳ θάνον εὔμηλον ῥυόμενοι Τεγέαν,
who died rich-in-flocks defending Tegea
αἰχμηταὶ πρὸ πόληος, ἵνα σφίσι μὴ καθέληται
spearmen before city that for-them not may-take-away
Ἑλλὰς ἀποφθιμένου κρατὸς ἐλευθερίαν.
Hellas having-perished from-head freedom

443. ΤΟΥ ΑΥΤΟΥ

443 of-the same

Τῶνδε ποτὲ στέρνοισι τανυγλώχινας ὀϊστοὺς
Of-these once in-breasts long-barbed arrows
λοῦσεν φοινίσσᾳ θοῦρος Ἄρης ψακάδι.
washed with-crimson impetuous Ares with-drizzle
ἀντὶ δ' ἀκοντοδόκων ἀνδρῶν μνημεῖα θανόντων.
instead and of-spear-receiving of-men memorials having-died
ἄψυχ' ἐμψύχων, ἅδε κέκευθε κόνις.
lifeless of-living this has-hidden dust

444. ΘΕΑΙΤΗΤΟΥ

444 of-Theaetetus

Χείματος οἰνωθέντα τὸν Ἀνταγόρεω μέγαν οἶκον
In-winter wine-drunk the of-Antagoras great house
ἐκ νυκτῶν ἔλαθεν πῦρ ὑπονειμάμενον·
from nights escaped-notice fire having-spread-beneath
ὀγδώκοντα δ' ἀριθμὸν ἐλεύθεροι ἄμμιγα δούλοις
eighty and in-number free together with-slaves
τῆς ἐχθρῆς ταύτης πυρκαϊῆς ἔτυχον.
of-the hateful this of-pyre got
οὐκ εἶχον διελεῖν προσκηδέες ὀστέα χωρίς·
not they-could to-separate relatives bones apart
ξυνὴ δ' ἦν κάλπις, ξυνὰ δὲ τὰ κτέρεα·
common and was urn common and the funeral-gifts
εἷς καὶ τύμβος ἀνέστη· ἀτὰρ τὸν ἕκαστον ἐκείνων
one also tomb was-raised but the each of-them
οἶδε καὶ ἐν τέφρῃ ῥηϊδίως Ἀΐδης.
knows even in ash easily Hades

445. ΠΕΡΣΟΥ ΘΗΒΑΙΟΥ

445 of-Perses of-Thebes

Μαντιάδας, ὦ ξεῖνε, καὶ Εὔστρατος, υἷες Ἐχέλλου,
Mantiadas O stranger and Eustratus sons of-Echellus
Δυμαῖοι, κραναῇ κείμεθ' ἐνὶ ξυλόχῳ,
of-Dyme rocky we-lie in thicket
ἄγραυλοι γενεῆθεν ὀροιτύποι. οἱ δ' ἐπὶ τύμβῳ,
field-dwelling by-race mountain-woodcutters they and on tomb
μανυταὶ τέχνας, δουροτόμοι πελέκεις.
indicators of-craft wood-cutting axes

446. ΗΓΗΣΙΠΠΟΥ

446 of-Hegesippus

Ἑρμιονεὺς ὁ ξεῖνος, ἐν ἀλλοδαπῶν δὲ τέθαπται,
Hermionian the stranger among foreigners and is-buried
Ζωΐλος, Ἀργείαν γαῖαν ἐφεσσάμενος,
Zoilus Argive earth having-put-on
ἂν ἐπί οἱ βαθύκολπος ἀμάσατο δάκρυσι νύμφα
which on him deep-bosomed scraped-up with-tears bride
λειβομένα, παῖδές τ' εἰς χρόα κειράμενοι.
streaming children and to skin having-shorn

447. ΚΑΛΛΙΜΑΧΟΥ

447 of-Callimachus

Σύντομος ἦν ὁ ξεῖνος· ὃ καὶ στίχος· οὐ μακρὰ λέξω·
Brief was the stranger which also verse not long I-will-say
"Θῆρις Ἀρισταίου, Κρὴς" ἐπ' ἐμοὶ δολιχός.
Theris of-Aristaeus Cretan on me long

448. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ

448 of-Leonidas of-Tarentum

Πραταλίδα τὸ μνᾶμα Λυκαστίω, ἄκρον ἐρώτων
Of-Pratalidas the memorial of-Lycastian highest of-loves
εἰδότος, ἄκρα μάχας, ἄκρα λινοστασίας,
knowing highest of-battle highest of-net-setting
ἄκρα χοροιτυπίας. χθόνιοι, Μίνωϊ τὸν ἄνδρα
highest of-dance-beating underground with-Minos the man
τοῦτον, Κρηταιεῖς Κρῆτα, παρῳκίσατε.
this Cretans Cretan you-settled-beside

449. ΑΛΛΟ

449 another

Πραταλίδᾳ παιδεῖον Ἔρως πόθον, Ἄρτεμις ἄγραν,
For-Pratalidas boy-love Love longing Artemis hunt
Μοῦσα χορούς, Ἄρης ἐγγυάλιξε μάχαν.
Muse dances Ares put-in-hand battle
πῶς οὐκ εὐαίων ὁ Λυκάστιος, ὃς καὶ ἔρωτι
how not blessed the Lycastian who both in-love
ἆρχε καὶ ἐν μολπᾷ, καὶ δορὶ καὶ στάλικι;
led and in song and spear and in-net-stake

450. ΔΙΟΣΚΟΡΙΔΟΥ

450 of-Dioscorides

Τῆς Σαμίης τὸ μνῆμα Φιλαινίδος· ἀλλὰ προσειπεῖν
Of-the Samian the memorial of-Philaenis but to-address
τλῆθί με, καὶ στήλης πλησίον, ὦνερ, ἴθι.
dare me and of-stele near O-man come
οὐκ εἴμ᾽ ἡ τὰ γυναιξὶν ἀναγράψασα προσάντη
not I-am the(-one) the to-women having-written offensive
ἔργα, καὶ Αἰσχύνην οὐ νομίσασα θεόν·
works and Shame not having-believed goddess
ἀλλὰ φιλαιδήμων, ναὶ ἐμὸν τάφον· εἰ δέ τις ἡμέας
but modest yes my tomb if but anyone us
αἰσχύνων λαμυρὴν ἔπλασεν ἱστορίην,
shaming wanton fashioned story
τοῦ μὲν ἀναπτύξαι χρόνος οὔνομα· τἀμὰ δὲ λυγρὴν
of-him indeed may-unfold time name the-my but baneful
ὀστέα τερφθείη κληδόν᾽ ἀπωσαμένης.
bones may-rejoice repute having-thrust-off

Saon of Acanthus sleeps a holy sleep, the passers-by are bidden to remember Eubulus the temperate and drink, and Nicoteles dies at twelve. The drinkers follow: Erasixenus, carried off by a cup drunk twice unmixed, and the old women Maronis, whose cup on her tomb is empty, Seilenis and Ampelis. Aeschra the nurse is honored by her nurseling, and Crethis the storyteller sleeps. Micylus lived honestly on little, and earth is bidden to lie light on Aesigenes. Satyra and the four daughters of Aristodicus die in childbirth; Aretemias of Cnidus dies bearing twins and takes one with her; Anticles' mother laments her only son; Artemidorus dies at twelve, and Charixenus' mother weeps.

451. ΚΑΛΛΙΜΑΧΟΥ

451 of-Callimachus

Τᾷδε Σάων ὁ Δίκωνος Ἀκάνθιος ἱερὸν ὕπνον
Here Saon the of-Dicon Acanthian holy sleep
κοιμᾶται. θνάσκειν μὴ λέγε τοὺς ἀγαθούς.
sleeps to-die not say the good

452. ΛΕΩΝΙΔΑ

452 of-Leonidas

Μνήσασθ' Εὐβούλοιο σαόφρονος, ὦ παριόντες,
Remember of-Eubulus of-temperate O passers-by
πίνωμεν· κοινὸς πᾶσι λιμὴν Ἀίδης.
let-us-drink common to-all harbor Hades

453. ΚΑΛΛΙΜΑΧΟΥ

453 of-Callimachus

Δωδεκέτη τὸν παῖδα πατὴρ ἀπέθηκε Φίλιππος
Twelve-year-old the son father laid-away Philip
ἐνθάδε, τὴν πολλὴν ἐλπίδα, Νικοτέλην.
here the great hope Nicoteles

454. ΤΟΥ ΑΥΤΟΥ

454 of-the same

Τὸν βαθὺν οἰνοπότην Ἐρασίξενον ἡ δὶς ἐφεξῆς
The deep wine-drinker Erasixenus the twice in-a-row
ἀκρήτου προποθεῖσ' ᾤχετ' ἔχουσα κύλιξ.
of-unmixed drunk-off went having cup

455. ΛΕΩΝΙΔΑ

455 of-Leonidas

Μαρωνὶς ἡ φίλοινος, ἡ πίθων σποδός,
Maronis the wine-loving the of-jars ash
ἐνταῦθα κεῖται γρῆϋς, ἧς ὑπὲρ τάφου
here lies old-woman whose over tomb
γνωστὸν πρόκειται πᾶσιν Ἀττικὴ κύλιξ.
known lies-before to-all Attic cup
στένει δὲ καὶ γᾶς νέρθεν, οὐχ ὑπὲρ τέκνων,
groans and even of-earth beneath not for children
οὐδ' ἀνδρός, οὓς λέλοιπεν ἐνδεεῖς βίου·
nor husband whom she-has-left needy of-livelihood
ἓν δ' ἀντὶ πάντων, οὕνεχ' ἡ κύλιξ κενή.
one but instead-of all because the cup empty

456. ΔΙΟΣΚΟΡΙΔΟΥ

456 of-Dioscorides

Τὴν τίτθην Ἱέρων Σειληνίδα, τήν, ὅτε πίνοι
The nurse Hieron Seilenis her when she-drank
ζωρόν, ὑπ᾽ οὐδεμιῆς θλιβομένην κύλικος,
strong by no pressed cup
ἀγρῶν ἐντὸς ἔθηκεν, ἵν᾽ ἡ φιλάκρητος ἐκείνη
of-fields within set that the wine-lover that-one
καὶ φθιμένη ληνῶν γείτονα τύμβον ἔχοι.
even having-perished of-vats neighboring tomb might-have

457. ΑΡΙΣΤΩΝΟΣ

457 of-Ariston

Ἀμπελὶς ἡ φιλάκρητος ἐπὶ σκήπωνος ὁδηγοῦ
Ampelis the wine-lover on staff guide
ἤδη τὸ σφαλερὸν γῆρας ἐρειδομένη,
already the tottering old-age propping
λαθριδίη Βάκχοιο νεοθλιβὲς ἦρ᾽ ἀπὸ ληνοῦ
secretly of-Bacchus fresh-pressed she-took from vat
πῶμα Κυκλωπείην πλησομένη κύλικα·
drink Cyclopean to-fill cup
πρὶν δ᾽ ἀρύσαι μογερὰν ἔκαμεν χέρα· γραῦς δὲ παλαιή,
before but to-draw wretched grew-weary hand old-woman and ancient
ναῦς ἅθ᾽ ὑποβρύχιος ζωρὸν ἔδυ πέλαγος.
ship like under-water strong sank sea
Εὐτέρπη δ᾽ ἐπὶ τύμβῳ ἀποφθιμένης θέτο σῆμα
Euterpe and on tomb of-the-dead set token
λάϊνον, οἰνηρῶν γείτονα θειλοπέδων.
stone of-wine-filled neighbor of-treading-floors

458. ΚΑΛΛΙΜΑΧΟΥ

458 of-Callimachus

Τὴν Φρυγίην Αἴσχρην, ἀγαθὸν γάλα, πᾶσιν ἐν ἐσθλοῖς
The Phrygian Aeschra good milk all among good-things
Μίκκος καὶ ζωὴν οὖσαν ἐγηροκόμει,
Miccus also living being cared-for-in-age
καὶ φθιμένην ἀνέθηκεν, ἐπεσσομένοισιν ὁρᾶσθαι
and having-perished set-up for-coming-ones to-be-seen
ἡ γρῆϋς μαστῶν ὡς ἀπέχει χάριτας.
the old-woman of-breasts how she-has favors

459. ΤΟΥ ΑΥΤΟΥ

459 of-the same

Κρηθίδα τὴν πολύμυθον, ἐπισταμένην καλὰ παίζειν,
Crethis the much-talking knowing fair to-play
δίζηνται Σαμίων πολλάκι θυγατέρες,
seek of-Samians often daughters
ἡδίστην συνέριθον, ἀείλαλον· ἡ δ' ἀποβρίζει
sweetest fellow-worker ever-chattering she but sleeps
ἐνθάδε τὸν πάσαις ὕπνον ὀφειλόμενον.
here the to-all sleep owed

460. ΤΟΥ ΑΥΤΟΥ

460 of-the same

Εἶχον ἀπὸ σμικρῶν ὀλίγον βίον, οὔτε τι δεινὸν
I-had from small little livelihood neither anything terrible
ῥέζων, οὔτ' ἀδικῶν οὐδένα. γαῖα φίλη,
doing nor wronging anyone earth dear

Μικύλος εἴ τι πονηρὸν ἐπήνεσα, μήτε σὺ κούφη
Micylus if anything wicked I-praised neither you light
γίνεο, μήτ᾽ ἄλλοι δαίμονες, οἵ μ᾽ ἔχετε.
be nor other gods who me hold

461. ΜΕΛΕΑΓΡΟΥ

461 of-Meleager

Παμμῆτορ γῆ, χαῖρε· σὺ τὸν πάρος οὐ βαρὺν εἰς σὲ
All-mother earth farewell you the before not heavy on you
Αἰσιγένην καὐτὴ νῦν ἐπέχοις ἀβαρής.
Aesigenes you-too now may-hold light

462. ΔΙΟΝΥΣΙΟΥ

462 of-Dionysius

Ἀγχιτόκον Σατύραν Ἀΐδας λάχε, Σιδονία δὲ
Near-childbirth Satyra Hades got Sidonian and
κρύψε κόνις, πάτρα δ᾽ ἐστονάχησε Τύρος.
hid dust fatherland and groaned Tyre

463. ΛΕΩΝΙΔΑ

463 of-Leonidas

Αὗτα Τιμόκλει᾽, αὗτα Φιλώ, αὗτα Ἀριστώ,
This Timocleia this Philo this Aristo
αὗτα Τιμαιθώ, παῖδες Ἀριστοδίκου,
this Timaetho daughters of-Aristodicus

πᾶσαι ὑπ᾽ ὠδῖνος πεφονευμέναι· αἷς ἔπι τοῦτο
all by birth-pang slain for-whom over this
σᾶμα πατὴρ στάσας κάτθαν᾽ Ἀριστόδικος.
tomb father having-set died Aristodicus

464. ΑΝΤΙΠΑΤΡΟΥ

464 of-Antipater

Ἦ που σὲ χθονίας, Ἀρετημιάς, ἐξ ἀκάτοιο
Truly I-suppose you of-underworld Aretemias from boat
Κωκυτοῦ θεμέναν ἴχνος ἐπ᾽ ἀϊόνι,
of-Cocytus having-set foot on shore
οἰχόμενον βρέφος ἄρτι νέῳ φορέουσαν ἀγοστῷ
departed babe just on-young carrying on-arm
ᾤκτειραν θαλεραὶ Δωρίδες εἰν ἀΐδᾳ,
pitied blooming Dorian-women in Hades
πευθόμεναι τέο κῆρα· σὺ δὲ ῥαίνουσα παρειὰς
asking of-what doom you and sprinkling cheeks
δάκρυσιν, ἄγγειλας κεῖν᾽ ἀνιαρὸν ἔπος·
with-tears you-announced that grievous word
“Διπλόον ὠδίνασα, φίλαι, τέκος, ἄλλο μὲν ἀνδρὶ
Double having-borne friends child the-one indeed to-husband
Εὔφρονι καλλιπόμαν, ἄλλο δ᾽ ἄγω φθιμένοις.”
Euphron I-left the-other and I-bring to-the-dead

465. ΗΡΑΚΛΕΙΤΟΥ

465 of-Heraclitus

Ἁ κόνις ἀρτίσκαπτος, ἐπὶ στάλας δὲ μετώπων
The dust newly-dug on stele and of-fronts
σείονται φύλλων ἡμιθαλεῖς στέφανοι·
shake of-leaves half-blooming garlands
γράμμα διακρίναντες, ὁδοιπόρε, πέτρον ἴδωμεν,
letter having-made-out wayfarer stone let-us-see
λευρὰ περιστέλλειν ὀστέα φατὶ τίνος. —
smooth to-wrap bones it-says of-whom
"Ξεῖν', Ἀρετημιάς εἰμι· πάτρα Κνίδος· Εὔφρονος ἦλθον
Stranger Aretemias I-am fatherland Cnidus of-Euphron I-came
εἰς λέχος· ὠδίνων οὐκ ἄμορος γενόμαν·
into bed of-pangs not without-share I-was
δισσὰ δ' ὁμοῦ τίκτουσα,
twins and together bearing
τὸ μὲν λίπον ἀνδρὶ ποδηγὸν
the(-one) indeed I-left to-husband guide
γήρως· ὃν δ' ἀπάγω μναμόσυνον πόσιος."
of-old-age the-other and I-take-away memorial of-husband

466. ΛΕΩΝΙΔΑ

466 of-Leonidas

Ἆ δεῖλ' Ἀντίκλεις, δειλὴ δ' ἐγὼ ἡ τὸν ἐν ἥβης
Ah wretched Anticles wretched and I who the in of-youth
ἀκμῇ καὶ μοῦνον παῖδα πυρωσαμένη,
prime and only son having-burned

ὀκτωκαιδεκέτης ὃς ἀπώλεο, τέκνον· ἐγὼ δὲ
eighteen-years-old who you-perished child I and
ὀρφάνιον κλαίω γῆρας ὀδυρομένη.
orphaned weep old-age lamenting
βαίην εἰς Ἄϊδος σκιερὸν δόμον· οὔτε μοι ἠὼς
may-I-go to of-Hades shadowy house neither to-me dawn
ἡδεῖ' οὔτ' ἀκτὶς ὠκέος ἠελίου.
sweet nor ray of-swift of-sun
ἆ δείλ' Ἀντίκλεις, μεμορημένε, πένθεος εἴης
ah wretched Anticles doomed of-grief may-you-be
ἰητήρ, ζωῆς ἔκ με κομισσάμενος.
healer of-life from me having-carried

467. ΑΝΤΙΠΑΤΡΟΥ

467 of-Antipater

Τοῦτό τοι, Ἀρτεμίδωρε, τεῷ ἐπὶ σάματι μάτηρ
This to-you Artemidorus your over tomb mother
ἴαχε, δωδεκέτη σὸν γοόωσα μόρον·
cried twelve-year-old your bewailing doom
"Ὤλετ' ἐμᾶς ὠδῖνος ὁ πᾶς πόνος εἰς σποδὸν εἰς πῦρ,
Perished my of-birth-pang the all toil into ash into fire
ὤλεθ' ὁ παμμέλεος γειναμένου κάματος·
perished the all-wretched of-begetter labor
ὤλετο χἀ ποθινὰ τέρψις σέθεν· ἐς γὰρ ἄκαμπτον,
perished and-the longed-for delight of-you to for unbending
ἐς τὸν ἀνόστητον χῶρον ἔβης ἐνέρων·
to the unreturning place you-went of-the-dead

οὐδ᾽ ἐς ἐφηβείαν ἦλθες, τέκος· ἀντὶ δὲ σεῖο
nor to youth you-came child instead and of-you
στάλα καὶ κωφὰ λείπεται ἄμμι κόνις.”
stele and deaf is-left to-us dust

468. ΜΕΛΕΑΓΡΟΥ

468 of-Meleager

Οἰκτρότατον μάτηρ σε, Χαρίξενε, δῶρον ἐς ᾅδαν,
Most-pitiable mother you Charixenus gift to Hades
ὀκτωκαιδεκέταν ἐστόλισεν χλαμύδι.
eighteen-years-old dressed in-cloak
ἦ γὰρ δὴ καὶ πέτρος ἀνέστενεν, ἀνίκ᾽ ἀπ᾽ οἴκων
truly for indeed even stone groaned when from house
ἅλικες οἰμωγᾷ σὸν νέκυν ἠχθοφόρευν.
age-mates with-wailing your corpse carried
πένθος δ᾽, οὐχ ὑμέναιον ἀνωρύοντο γονῆες·
grief but not wedding-song howled parents
αἰαῖ, τὰς μαστῶν ψευδομένας χάριτας,
alas the of-breasts false favors
καὶ κενεὰς ὠδῖνας· ἰὼ κακοπάρθενε Μοῖρα,
and empty pangs ho evil-virgin Fate
στεῖρα γονᾶς στοργὰν ἔπτυσας εἰς ἀνέμους.
barren of-offspring love you-spat to winds
τοῖς μὲν ὁμιλήσασι ποθεῖν πάρα, τοῖς δὲ τοκεῦσι
to-the indeed having-been-with to-long-for it-is to-the and parents
πενθεῖν, οἷς δ᾽ ἀγνώς, πευθομένοις ἐλεεῖν.
to-grieve to-whom but unknown hearing to-pity

Eubulus was less in fortune than in fame. Philaulus says he went to Hades of his own will, having tasted the Cean cups, and Cleombrotus leapt from a wall after reading Plato on the soul. Leonidas reflects on the brevity of life and the bones men are made of, a point in endless time. Two girls hang themselves when Euphron dies, and Nicander's children all die in one day. Scyllis wastes away in the third month after her bridegroom, Meleager mourns Heliodora and asks Earth to hold her gently, and Philaenis is buried at Eleutherna, not by the Nile. A coffin lies open by the road, Heraclitus' tombstone is worn by wagons, and a tomb asks that men not tread on its dead.

469. ΧΑΙΡΗΜΟΝΟΣ

469 of-Chaeremon

Εὔβουλον τέκνωσεν Ἀθηναγόρης περὶ πάντων
Eubulus begot Athenagoras above all
ἥσσονα μὲν μοίρᾳ, κρέσσονα δ' εὐλογίᾳ.
inferior indeed in-fate superior but in-praise

470. ΜΕΛΕΑΓΡΟΥ

470 of-Meleager

— Εἶπον ἀνειρομένῳ τίς καὶ τίνος ἐσσί. — Φίλαυλος
Tell to-asking who and of-whom you-are Philaulus
Εὐκρατίδεω. — Ποδαπὸς δ' εὔχεαι…
of-Eucratides Of-what-country but you-claim
— Ἔζησας δὲ τίνα στέργων βίον; — Οὐ τὸν ἀρότρου,
You-lived and what loving life Not the of-plow
οὐδὲ τὸν ἐκ νηῶν, τὸν δὲ σοφοῖς ἕταρον.
nor the from ships the but to-wise comrade

— Γήραϊ δ' ἢ νούσῳ βίον ἔλλιπες; — Ἤλυθον Ἄδαν
By-old-age and or by-disease life you-left I-came to-Hades
αὐτοθελεί, Κείων γευσάμενος κυλίκων.
of-my-own-will of-Cean having-tasted cups
— Ἦ πρέσβυς; — Καὶ κάρτα. —
Truly old Yes very
Λάχοι νύ σε βῶλος ἐλαφρὴ
May-get indeed you clod light
σύμφωνον πινυτῷ σχόντα λόγῳ βίοτον.
harmonious with-wise having-held with-reason life

471. ΚΑΛΛΙΜΑΧΟΥ

471 of-Callimachus

Εἴπας "Ἥλιε, χαῖρε" Κλεόμβροτος Ὠμβρακιώτης
Having-said Sun farewell Cleombrotus Ambraciot
ἅλατ' ἀφ' ὑψηλοῦ τείχεος εἰς ἀΐδαν,
leaped from high wall to Hades
ἄξιον οὐδὲν ἰδὼν θανάτου κακόν, ἀλλὰ Πλάτωνος
worthy nothing having-seen of-death evil but of-Plato
ἓν τὸ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος.
one the on soul writing having-read

472. ΛΕΩΝΙΔΑ

472 of-Leonidas

Μυρίος ἦν, ἄνθρωπε, χρόνος προτοῦ, ἄχρι πρὸς ἠῶ
Countless was man time before until to dawn
ἦλθες, χὠ λοιπὸς μυρίος εἰς ἀΐδην.
you-came and-the remaining countless to Hades

τίς μοῖρα ζωῆς ὑπολείπεται, ἢ ὅσον ὅσσον
what portion of-life is-left or how-much just
στιγμὴ καὶ στιγμῆς εἴ τι χαμηλότερον;
point and than-point if anything lower
μικρή σευ ζωὴ τεθλιμμένη· οὐδὲ γὰρ αὐτὴ
small your life crushed nor for itself
ἡδεῖ', ἀλλ' ἐχθροῦ στυγνοτέρη θανάτου.
sweet but than-hateful more-hateful than-death
ἐκ τοίης ὤνθρωποι ἀπηκριβωμένοι ὀστῶν
from such men finely-wrought of-bones
ἁρμονίης, †ὕψιστ' ἠέρα καὶ νεφέλας·
of-structure (corrupt) air and clouds
ὦνερ, ἴδ' ὡς ἀχρεῖον, ἐπεὶ περὶ νήματος ἄκρον
O-man see how useless since about of-thread tip
εὐλὴ ἀκέρκιστον λῶπος ἐφεζομένη·
worm unwoven garment sitting-on
οἷον τὸ †ψαλα, θρῖον ἀπεψιλωμένον οἷον,
such the (corrupt) leaf stripped such
πολλὸν ἀραχναίου στυγνότερον σκελετοῦ.
much than-spider's more-hateful than-skeleton
ἠοῦν ἐξ ἠοῦς ὅσσον σθένος, ὦνερ, ἐρευνῶν
dawn from dawn as-much-as strength O-man searching
εἴης ἐν λιτῇ κεκλιμένος βιοτῇ·
may-you-be in simple reclining life
αἰὲν τοῦτο νόῳ μεμνημένος ἄχρις ὁμιλῇς
always this in-mind remembering as-long-as you-consort
ζωοῖς, ἐξ οἵης ἡρμόνισαι καλάμης.
with-living from what you-are-fitted straw

472 b. ΤΟΥ ΑΥΤΟΥ

472 b of-the same

Χειμέριον ζωὴν ὑπαλεύεο, νεῖο δ' ἐς ὅρμον,
Wintry life avoid go and to anchorage
ὡς κἠγὼ Φείδων ὁ Κρίτου εἰς ἀΐδην.
as and-I Pheidon the of-Critus to Hades

473. ΑΡΙΣΤΟΔΙΚΟΥ

473 of-Aristodicus

Δαμὼ καὶ Μάθυμνα τὸν ἐν τριετηρίσιν Ἥρας
Damo and Mathymna the in triennial-festivals of-Hera
Εὔφρονα λυσσατὰν ὡς ἐπύθοντο νέκυν,
Euphron raving when they-learned corpse
ζωὰν ἀρνήσαντο, τανυπλέκτων δ' ἀπὸ μιτρᾶν
life refused long-plaited and from girdles
χερσὶ δεραιούχους ἐκρεμάσαντο βρόχους.
with-hands neck-holding hung nooses

474. ΑΔΗΛΟΝ

474 uncertain

Εἷς ὅδε Νικάνδρου τέκνων τάφος· ἓν φάος ἀοῦς
One this of-Nicander of-children tomb one light of-dawn
ἄνυσε τὰν ἱερὰν Λυσιδίκας γενεάν.
finished the holy of-Lysidice offspring

475. ΔΙΟΤΙΜΟΥ

475 of-Diotimus

Νυμφίον Εὐαγόρην ποτὶ πενθερὸν ἡ Πολυαίνου
Bridegroom Euagoras to father-in-law the of-Polyaenus
Σκυλλὶς ἀν᾽ εὐρείας ἦλθε βοῶσα πύλας,
Scyllis through wide came shouting gates
παῖδα τὸν Ἡγεμάχειον ἐφέστιον· οὐδ᾽ ἄρ᾽ ἐκείνη
son the of-Hegemachus at-the-hearth nor then she
χήρη πατρῴους αὖθις ἐσῆλθε δόμους,
widowed ancestral again entered house
δαιμονίη· τριτάτῳ δὲ κατέφθιτο μηνὶ δυσαίων
hapless on-third and wasted-away in-month ill-fated
οὐλομένῃ ψυχῆς δύσφρονι τηκεδόνι.
by-baneful of-soul by-melancholy by-wasting
τοῦτο δ᾽ ἐπ᾽ ἀμφοτέροισι πολύκλαυτον φιλότητος
this and over both much-wept of-love
ἕστηκεν λείῃ μνῆμα παρὰ τριόδῳ.
stands smooth memorial by crossroad

476. ΜΕΛΕΑΓΡΟΥ

476 of-Meleager

Δάκρυά σοι καὶ νέρθε διὰ χθονός, Ἡλιοδώρα,
Tears to-you even below through earth Heliodora
δωροῦμαι, στοργᾶς λείψανον, εἰς ἀΐδαν,
I-give of-love remnant to Hades
δάκρυα δυσδάκρυτα· πολυκλαύτῳ δ᾽ ἐπὶ τύμβῳ
tears bitter-to-weep much-wept and on tomb
σπένδω μνᾶμα πόθων, μνᾶμα φιλοφροσύνας.
I-pour memorial of-longings memorial of-affection

οἰκτρὰ γὰρ οἰκτρὰ φίλαν σε
piteously for piteously dear you
καὶ ἐν φθιμένοις Μελέαγρος
even among the-dead Meleager
αἰάζω, κενεὰν εἰς Ἀχέροντα χάριν.
I-lament empty to Acheron favor
αἰαῖ, ποῦ τὸ ποθεινὸν ἐμοὶ θάλος; ἅρπασεν Ἅδας,
alas where the longed-for to-me sprout snatched Hades
ἅρπασεν· ἀκμαῖον δ' ἄνθος ἔφυρε κόνις.
snatched in-prime and flower defiled dust
ἀλλά σε γουνοῦμαι, Γᾶ παντρόφε, τὰν πανόδυρτον
but you I-beseech Earth all-nurturing the all-lamented
ἠρέμα σοῖς κόλποις, μᾶτερ, ἐναγκάλισαι.
gently in-your in-bosom mother embrace

477. ΤΥΜΝΕΩ

477 of-Tymnes

Μή σοι τοῦτο, Φιλαινί, λίην ἐπικάρδιον ἔστω,
Not to-you this Philaenis too-much heart-grieving be
εἰ μὴ πρὸς Νείλῳ γῆς μορίης ἔτυχες,
if not by Nile of-earth portion you-got
ἀλλά σ' Ἐλευθέρνης ὅδ' ἔχει τάφος· ἔστι γὰρ ἴση
but you of-Eleutherna this holds tomb is for equal
πάντοθεν εἰς ἀΐδην ἐρχομένοισιν ὁδός.
from-everywhere to Hades for-coming road

478. ΛΕΩΝΙΔΟΥ

478 of-Leonidas

Τίς ποτ᾽ ἄρ᾽ εἶ; τίνος ἆρα παρὰ τρίβον ὀστέα ταῦτα
Who ever then are-you of-whom then by path bones these
τλήμον᾽ ἐν ἡμιφαεῖ λάρνακι γυμνὰ μένει;
wretched in half-open coffin naked remain
μνῆμα δὲ καὶ τάφος αἰὲν ἀμαξεύοντος ὁδίτεω
memorial and also tomb always of-driving of-wayfarer
ἄξονι καὶ τροχιῇ λιτὰ παραξέεται·
by-axle and by-wheel bare is-scraped
ἤδη σου καὶ πλευρὰ παρατρίψουσιν ἄμαξαι,
already your even ribs will-grind wagons
σχέτλιε, σοὶ δ᾽ οὐδεὶς οὐδ᾽ ἐπὶ δάκρυ βαλεῖ.
wretch for-you but no-one not-even on tear will-throw

479. ΘΕΟΔΩΡΙΔΑ

479 of-Theodoridas

Πέτρος ἐγὼ τὸ πάλαι γυρὴ καὶ ἄτριπτος ἐπιβλὴς
Stone I the long-ago round and unworn lid
τὴν Ἡρακλείτου ἔνδον ἔχω κεφαλὴν
the of-Heraclitus within I-hold head
αἰών μ᾽ ἔτριψεν κροκάλαις ἴσον· ἐν γὰρ ἀμάξῃ
age me wore to-pebbles like in for wagon-road
παμφόρῳ αἰζηῶν εἰνοδίῃ τέταμαι.
all-bearing of-men by-the-wayside I-am-stretched
ἀγγέλλω δὲ βροτοῖσι, καὶ ἄστηλός περ ἐοῦσα,
I-announce and to-mortals even stele-less though being
θεῖον ὑλακτητὴν δήμου ἔχουσα κύνα.
divine barker of-people holding dog

480. ΛΕΩΝΙΔΑ

480 of-Leonidas

Ἤδη μευ τέτριπται ὑπεκκεκαλυμμένον ὀστεῦν
Already of-me is-worn uncovered bone
ἁρμονίῃ τ', ὦνερ, πλὰξ ἐπικεκλιμένη·
at-joint and O-man slab leaning-on
ἤδη καὶ σκώληκες ὑπὲκ σοροῦ αὐγάζονται
already also worms from coffin are-seen
ἡμετέρης· τί πλέον γῆν ἐπιεννύμεθα;
of-our what more earth do-we-put-on
ἦ γὰρ τὴν οὔπω πρὶν ἰτὴν ὁδὸν ἐτμήξαντο
truly for the not-yet before trodden road cut
ἄνθρωποι, κατ' ἐμῆς νισσόμενοι κεφαλῆς.
men over my going head
ἀλλὰ πρὸς ἐγγαίων, Ἀϊδωνέος Ἑρμεία τε
but by underground Aidoneus Hermes and
καὶ Νυκτός, ταύτης ἐκτὸς ἴτ' ἀτραπιτοῦ.
and Night this out go of-path

Theodota's stone bids her father cease from grief, and Cleudicus dies before his first haircut; Hades is reproached for taking the infant Callaeschrus. Bio bore Didymon five daughters and five sons yet had joy of none and was buried by strangers' hands, and Thyiads are bidden to dance over Alexemenes' tomb. Then the maidens who died before marriage: Philaenis, Philaenion, Aristocrateia, Sappho's Timas, Antibia and Cleo, and the three Milesian girls who killed themselves rather than suffer the Gauls. Rhodope and her mother Boisca die by their own hands when Corinth falls. The drowned follow: Sodamus the Cretan, Aspasius in the Aegean, Simonides' dead off Geraneia, and Lycus, whose bones lie naked on a foreign shore.

481. ΦΙΛΗΤΑ ΣΑΜΙΟΥ

481 of-Philitas of-Samos

Ἁ στάλα βαρύθουσα λέγει τάδε· "τὰν μινύωρον
The stele heavy-laden says these the short-lived
τὰν μικκὰν Ἀΐδας ἅρπασε Θειοδόταν."
the little Hades snatched Theodota
χἀ μικκὰ τάδε πατρὶ λέγει πάλιν· " Ἴσχεο λύπας,
and-the little these to-father says in-turn Cease from-grief
Θειόδοτε· θνατοὶ πολλάκι δυστυχέες."
Theodotus mortals often unfortunate

482. ΑΔΗΛΟΝ

482 uncertain

Οὔπω τοι πλόκαμοι τετμημένοι, οὐδὲ σελάνας
Not-yet your locks cut nor of-moon
τοὶ τριετεῖς μηνῶν ἀνιοχεῦντο δρόμοι,
the three-year of-months were-driven courses

Κλεύδικε, Νικασὶς ὅτε σὰν περὶ λάρνακα μάτηρ,
Cleudicus Nicasis when your around coffin mother
τλῆμον, ἐπ᾽ αἰακτᾷ πόλλ᾽ ἐβόα στεφάνᾳ,
wretched at lamentable much cried crown
καὶ γενέτας Περίκλειτος· ἐπ᾽ ἀγνώτῳ δ᾽ Ἀχέροντι
and father Periclitus in unknown but Acheron
ἡβάσεις ἥβαν, Κλεύδικ᾽, ἀνοστοτάταν.
you-will-be-young youth Cleudicus most-unreturning

483. ΑΔΗΛΟΝ

483 uncertain

Ἀΐδη ἀλλιτάνευτε καὶ ἄτροπε, τίπτε τοι οὕτω
Hades unentreatable and inflexible why to-you so
Κάλλαισχρον ζωᾶς νήπιον ὠρφάνισας;
Callaeschrus of-life infant you-orphaned
ἔσται μὰν ὅ γε παῖς ἐν δώμασι Φερσεφονείοις
will-be indeed the indeed child in house of-Persephone
παίγνιον· ἀλλ᾽ οἴκοι λυγρὰ λέλοιπε πάθη.
plaything but at-home baneful he-has-left sufferings

484. ΔΙΟΣΚΟΡΙΔΟΥ

484 of-Dioscorides

Πέντε κόρας καὶ πέντε Βιὼ Διδύμωνι τεκοῦσα
Five girls and five Bio to-Didymon having-borne
ἄρσενας, οὐδὲ μιᾶς οὐδ᾽ ἑνὸς ὠνάσατο·
males not-even of-one nor of-one profited

ἦ μέγ᾽ ἀρίστη ἐοῦσα καὶ εὔτεκνος οὐχ ὑπὸ παίδων,
she greatly best being and blessed-in-children not by children
ὀθνείαις δ᾽ ἐτάφη χερσὶ θανοῦσα Βιώ.
by-strangers' but was-buried hands having-died Bio

485. ΤΟΥ ΑΥΤΟΥ

485 of-the same

Βάλλεθ᾽ ὑπὲρ τύμβου πολιὰ κρίνα, καὶ τὰ συνήθη
Throw over tomb white lilies and the customary
τύμπαν᾽ ἐπὶ στήλῃ ῥήσσετ᾽ Ἀλεξιμένους,
drums on stele beat of-Alexemenes
καὶ περιδινήσασθε μακρῆς ἀνελίγματα χαίτης
and whirl-about of-long unwindings of-hair
Στρυμονίην ἄφετοι Θυιάδες ἀμφὶ πόλιν,
Strymonian unleashed Thyiads around city
ἣ γλυκερὰ πνεύσαντος ἐφ᾽ ὑμετέροισιν †ἀδάπταις
who sweet having-breathed over your (corrupt)
πολλάκι πρὸς μαλακοὺς τοῦδ᾽ ἐχόρευε νόμους.
often to soft of-him danced tunes

486. ΑΝΥΤΗΣ ΜΕΛΟΠΟΙΟΥ

486 of-Anyte the-lyric-poet

Πολλάκι τῷδ᾽ ὀλοφυδνὰ κόρας ἐπὶ σάματι Κλείνα
Often on-this mournfully of-girl over tomb Cleina
μάτηρ ὠκύμορον παῖδ᾽ ἐβόασε φίλαν,
mother swift-fated child cried dear

ψυχὰν ἀγκαλέουσα Φιλαινίδος, ἃ πρὸ γάμοιο
soul calling-back of-Philaenis who before marriage
χλωρὸν ὑπὲρ ποταμοῦ χεῦμ᾽ Ἀχέροντος ἔβα.
pale over river stream of-Acheron went

487. ΠΕΡΣΟΥ ΜΑΚΕΔΟΝΟΣ

487 of-Perses of-Macedon

Ὤλεο δὴ πρὸ γάμοιο, Φιλαίνιον, οὐδέ σε μάτηρ
You-perished indeed before marriage Philaenion nor you mother
Πυθιὰς ὡραίους ἤγαγεν εἰς θαλάμους
Pythias timely led to chambers
νυμφίου· ἀλλ᾽ ἐλεεινὰ καταδρύψασα παρειὰς
of-bridegroom but pitiably having-torn cheeks
τεσσαρακαιδεκέτιν τῷδ᾽ ἐκάλυψε τάφῳ.
fourteen-years-old in-this covered tomb

488. ΜΝΑΣΑΛΚΟΥ

488 of-Mnasalces

Αἰαῖ Ἀριστοκράτεια, σὺ μὲν βαθὺν εἰς Ἀχέροντα
Alas Aristocrateia you indeed deep to Acheron
οἴχεαι ὡραίου κεκλιμένα πρὸ γάμου·
you-are-gone timely having-lain before marriage
μητρὶ δὲ δάκρυα σᾷ καταλείπεται, ἅ σ᾽ ἐπὶ τύμβῳ
to-mother and tears your are-left who you on tomb
πολλάκι κεκλιμένα κωκύει ἐκ †κεφαλᾶς.
often having-lain wails from head

489. ΣΑΠΦΟΥΣ

489 of-Sappho

Τιμάδος ἅδε κόνις, τὰν δὴ πρὸ γάμοιο θανοῦσαν
Of-Timas this dust whom indeed before marriage having-died
δέξατο Φερσεφόνας κυάνεος θάλαμος,
received of-Persephone dark chamber
ἃς καὶ ἀποφθιμένας πᾶσαι νεοθᾶγι σιδάρῳ
of-whom also having-perished all with-newly-whetted with-iron
ἄλικες ἱμερτὰν κρατὸς ἔθεντο κόμαν.
age-mates lovely of-head laid hair

490. ΑΝΥΤΗΣ

490 of-Anyte

Παρθένον Ἀντιβίαν κατοδύρομαι, ἃς ἐπὶ πολλοὶ
Maiden Antibia I-lament whom for many
νυμφίοι ἱέμενοι πατρὸς ἵκοντο δόμον,
suitors desiring of-father came house
κάλλευς καὶ πινυτᾶτος ἀνὰ κλέος· ἀλλ' ἐπὶ πάντων
of-beauty and of-wisdom through fame but of all
ἐλπίδας οὐλομένα Μοῖρ' ἐκύλισε πρόσω.
hopes destructive Fate rolled forward

491. ΜΝΑΣΑΛΚΟΥ

491 of-Mnasalces

Αἰαῖ παρθενίας ὀλοόφρονος, ἃς ἄπο φαιδρὰν
Alas of-maidenhood of-baneful-minded which from bright
ἔκλασας ἁλικίαν, ἱμερόεσσα Κλεοῖ·
you-broke age lovely Cleo

καδδέ σ' ἀμυξάμεναι περιδάκρυες αἵδ' ἐπὶ τύμβῳ
and-down you having-torn tearful these on tomb
λᾶες Σειρήνων ἕσταμες εἰδάλιμοι.
stones of-Sirens we-stand comely

492. ΑΝΥΤΗΣ ΜΙΤΥΛΗΝΑΙΑΣ

492 of-Anyte of-Mitylene

Ὠχόμεθ', ὦ Μίλητε, φίλη πατρί, τῶν ἀθεμίστων
We-went O Miletus dear fatherland of-the lawless
τὰν ἄνομον Γαλατᾶν κύπριν ἀναινόμεναι,
the lawless of-Galatians lust refusing
παρθενικαὶ τρισσαὶ πολιήτιδες, ἃς ὁ βιατὰς
maidens three citizens whom the violent
Κελτῶν εἰς ταύτην μοῖραν ἔτρεψεν Ἄρης.
of-Celts to this fate turned Ares
οὐ γὰρ ἐμείναμεν ἅμμα τὸ δυσσεβὲς οὐδ' Ὑμέναιον
not for we-awaited union the impious nor Hymenaeus
νυμφίον, ἀλλ' Ἀΐδην κηδεμόν' εὑρόμεθα.
bridegroom but Hades guardian we-found

493. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ

493 of-Antipater of-Thessalonica

Οὐ νούσῳ Ῥοδόπα τε καὶ ἁ γενέτειρα Βοΐσκα
Not by-disease Rhodope both and the mother Boisca
οὐδ' ὑπὸ δυσμενέων δούρατι κεκλίμεθα·
nor by of-foes spear we-lie

ἀλλ᾽ αὐταί, πάτρας ὁπότ᾽ ἔφλεγεν ἄστυ Κορίνθου
but ourselves of-fatherland when burned town of-Corinth
γοργὸς Ἄρης, ἀΐδαν ἄλκιμον εἱλόμεθα.
fierce Ares death brave we-chose
ἔκτανε γὰρ μάτηρ με διασφακτῆρι σιδάρῳ,
killed for mother me with-slaughtering with-iron
οὐδ᾽ ἰδίου φειδὼ δύσμορος ἔσχε βίου,
nor of-own sparing ill-fated had of-life
ἅψε δ᾽ ἐναυχενίῳ δειρὰν βρόχῳ· ἦς γὰρ ἀμείνων
fastened and on-neck neck noose was for better
δουλοσύνας ἁμῖν πότμος ἐλευθέριος.
than-slavery for-us fate free

494. ΑΔΕΣΠΟΤΟΝ

494 anonymous

Ἐν πόντῳ Σώδαμος ὁ Κρὴς θάνεν, ᾧ φίλα, Νηρεῦ,
In sea Sodamus the Cretan died to-whom dear Nereus
δίκτυα καὶ τὸ σὸν ἦν κεῖνο σύνηθες ὕδωρ,
nets and the your was that customary water
ἰχθυβολεὺς ὁ περισσὸς ἐν ἀνδράσιν. ἀλλὰ θάλασσα
fisher the exceptional among men but sea
οὔ τι διακρίνει χείματος οὐδ᾽ ἁλιεῖς.
not at-all distinguishes in-storm nor fishermen

495. ΑΛΚΑΙΟΥ ΜΕΣΣΗΝΙΟΥ

495 of-Alcaeus of-Messene

Στυγνὸς ἐπ᾽ Ἀρκτούρῳ ναύταις πλόος· ἐκ δὲ Βορείης
Hateful at Arcturus for-sailors voyage from and Northern
λαίλαπος Ἀσπάσιος πικρὸν ἔτευξα μόρον,
storm Aspasius bitter I-met doom
οὗ στείχεις παρὰ τύμβον, ὁδοιπόρε· σῶμα δὲ πόντος
whose you-go by tomb wayfarer body but sea
ἔκρυψ᾽ Αἰγαίῳ ῥαινόμενον πελάγει.
hid Aegean being-sprinkled sea
ἠϊθέων δακρυτὸς ἅπας μόρος· ἐν δὲ θαλάσσῃ
of-youths tearful every doom in but sea
πλεῖστα πολυκλαύτου κήδεα ναυτιλίης.
most of-much-lamented griefs of-seafaring

496. ΣΙΜΩΝΙΔΟΥ

496 of-Simonides

Ἠερίη Γεράνεια, κακὸν λέπας, ὤφελεν Ἴστρον
Airy Geraneia evil crag ought-to Ister
τῆλε καὶ ἐκ Σκυθέων μακρὸν ὁρᾶν Τάναϊν,
far and from Scythians long to-look-at Tanais
μηδὲ πέλας ναίειν Σκειρωνικὸν οἶδμα θαλάσσης,
nor near to-dwell Scironian swell of-sea
ἄγκεα νιφομένης ἀμφὶ Μεθουριάδος.
glens of-snowy around Methurias
νῦν δ᾽ ὁ μὲν ἐν πόντῳ κρυερὸς νέκυς· οἱ δὲ βαρεῖαν
now but the indeed in sea cold corpse the and heavy
ναυτιλίην κενεοὶ τῇδε βοῶσι τάφοι.
seafaring empty here shout tombs

497. ΔΑΜΑΓΗΤΟΥ

497 of-Damagetus

Καί ποτε Θυμώδης, τὰ παρ᾽ ἐλπίδα κήδεα κλαίων,
And once Thymodes the beyond hope griefs weeping
παιδὶ Λύκῳ κενεὸν τοῦτον ἔχευε τάφον·
for-son Lycus empty this heaped tomb
οὐδὲ γὰρ ὀθνείην ἔλαχεν κόνιν, ἀλλά τις ἀκτὴ
nor for foreign got dust but some shore
Θυνιὰς ἢ νήσων Ποντιάδων τις ἔχει·
Thynian or of-islands of-Pontic some holds
ἔνθ᾽ ὅγε που πάντων κτερέων ἄτερ ὀστέα φαίνει
there he-at-least somewhere of-all funeral-rites without bones shows
γυμνὸς ἐπ᾽ ἀξείνου κείμενος αἰγιαλοῦ.
naked on inhospitable lying shore

Old Damis brings his ship to harbor and dies of the cold as he moors it, and Ariston of Cyrene asks sailors to tell his father he lies off Icaria. Shipwrecked men's tombs follow, with cenotaphs and lost bodies. Parmis the fisherman chokes on a fish, Tharsys is half eaten by a sea monster, and a fisherman's father sets up his weel and oar. Simonides' short epitaphs close the section: a poor man's tomb, Gorgippus dead before marriage, the physician Pausanias, Theognis of Sinope, Cleisthenes lost on the Euxine, the Tegeans who died for freedom, Protomachus, who tells his father as he dies that he will never cease to long for his son's valor and temperance, and Cleodemus, whom shame led to his death.

498. ΑΝΤΙΠΑΤΡΟΥ

498 of-Antipater

Δᾶμις ὁ Νυσαιεὺς ἐλαχὺ σκάφος ἔκ ποτε πόντου
Damis the Nysaean small boat from once sea
Ἰονίου ποτὶ γᾶν ναυστολέων Πέλοπος,
Ionian to land sailing of-Pelops
φορτίδα μὲν καὶ πάντα νεὼς ἐπιβήτορα λαόν,
cargo indeed and all of-ship embarking people
κύματι καὶ συρμῷ πλαζομένους ἀνέμων,
by-wave and by-current wandering of-winds
ἀσκηθεῖς ἐσάωσε· καθιεμένης δ' ἐπὶ πέτραις
unhurt saved being-let-down and on rocks
ἀγκύρης, ψυχρῶν κάτθανεν ἐκ νιφάδων
of-anchor cold he-died from snows
ἠμύσας ὁ πρέσβυς. ἴδ' ὡς λιμένα γλυκὺν ἄλλοις
having-sunk the old-man see how harbor sweet to-others
δούς, ξένε, τὸν Λήθης αὐτὸς ἔδυ λιμένα.
having-given stranger the of-Lethe himself entered harbor

499. ΘΕΑΙΤΗΤΟΥ

499 of-Theaetetus

Ναυτίλοι ὦ πλώοντες, ὁ Κυρηναῖος Ἀρίστων
Sailors O sailing the Cyrenean Ariston
πάντας ὑπὲρ Ξενίου λίσσεται ὔμμε Διός,
all by of-Hospitable entreats you Zeus
εἰπεῖν πατρὶ Μένωνι, παρ' Ἰκαρίαις ὅτι πέτραις
to-tell to-father Menon by Icarian that rocks
κεῖται, ἐν Αἰγαίῳ θυμὸν ἀφεὶς πελάγει.
he-lies in Aegean life having-let-go sea

500. ΑΣΚΛΗΠΙΑΔΟΥ

500 of-Asclepiades

Ὦ παρ' ἐμὸν στείχων κενὸν ἠρίον, εἶπον, ὁδῖτα,
O by my going empty tomb tell wayfarer
εἰς Χίον εὖτ' ἂν ἵκῃ, πατρὶ Μελησαγόρῃ,
to Chios when — you-come to-father Melesagoras
ὡς ἐμὲ μὲν καὶ νῆα καὶ ἐμπορίην κακὸς Εὖρος
that me indeed and ship and merchandise evil East-Wind
ὤλεσεν, Εὐίππου δ' αὐτὸ λέλειπτ' ὄνομα.
destroyed of-Euippus but itself is-left name

501. ΠΕΡΣΟΥ

501 of-Perses

Εὔρου χειμέριαί σε καταιγίδες ἐξεκύλισαν,
Of-East-Wind wintry you squalls rolled-out
Φίλλι, πολυκλύστῳ γυμνὸν ἐπ' ἠιόνι,
Phillis much-washed naked on shore

οἰνηρῆς Λέσβοιο παρὰ σφυρὸν αἰγίλιπος δέ
of-wine-rich of-Lesbos by ankle steep and
πέτρου ἁλιβρέκτῳ κεῖσαι ὑπὸ πρόποδι.
of-rock sea-wet you-lie under foot

502. ΝΙΚΑΙΝΕΤΟΥ

502 of-Nicaenetus

Ἠρίον εἰμὶ Βίτωνος, ὁδοιπόρε· εἰ δὲ Τορώνην
Tomb I-am of-Biton wayfarer if but Torone
λείπων εἰς †αὐτὴν ἔρχεαι Ἀμφίπολιν,
leaving to itself you-go Amphipolis
εἰπεῖν Νικαγόρᾳ, παίδων ὅτι τὸν μόνον αὐτῷ
to-tell to-Nicagoras of-children that the only to-him
Στρυμονίης ἐρίφων ὤλεσε πανδυσίη.
Strymonian of-kids destroyed setting

503. ΛΕΩΝΙΔΑ

503 of-Leonidas

— Ἀρχαίης ὦ θινὸς ἐπεστηλωμένον ἄχθος,
Of-ancient O of-beach set-up-as-stele burden
εἴποις ὅντιν' ἔχεις, ἢ τίνος, ἢ ποδαπόν.
may-you-say whom you-hold or of-whom or of-what-country
— Φίντων' Ἑρμιονῆα Βαθυκλέος, ὃν πολὺ κῦμα
Phinton Hermionian of-Bathycles whom much wave
ὤλεσεν, Ἀρκτούρου λαίλαπι χρησάμενον.
destroyed of-Arcturus storm having-met

504. ΤΟΥ ΑΥΤΟΥ

504 of-the same

Πάρμις ὁ Καλλιγνώτου ἐπακταῖος καλαμευτής,
Parmis the of-Callignotus shore-dwelling rod-fisher
ἄκρος καὶ κίχλης καὶ σκάρου ἰχθυβολεύς,
top both of-thrush and of-parrot-fish fisher
καὶ λάβρου πέρκης δελεάρπαγος, ὅσσα τε κοίλας
and of-greedy of-perch bait-snatching as-many-as and hollow
σήραγγας πέτρας τ᾽ ἐμβυθίους νέμεται,
crevices rocks and deep-sea feed
ἄγρης ἐκ πρώτης ποτ᾽ ἰουλίδα πετρήεσσαν
of-catch from first once wrasse rock-haunting
δακνάζων, ὀλοὴν ἐξ ἁλὸς ἀράμενος,
biting deadly from sea having-taken
ἔφθιτ᾽· ὀλισθηρὴ γὰρ ὑπ᾽ ἐκ χερὸς ἀίξασα
perished slippery for under from hand having-darted
ᾤχετ᾽ ἐπὶ στεινὸν παλλομένη φάρυγα.
went into narrow quivering gullet
χὠ μὲν μηρίνθων καὶ δούνακος ἀγκίστρων τε
and-he indeed of-lines and of-rod of-books and
ἐγγὺς ἀπὸ πνοιὴν ἧκε κυλινδόμενος,
near away breath sent rolling
νήματ᾽ ἀναπλήσας ἐπιμοίρια· τοῦ δὲ θανόντος
threads having-filled-up allotted of-him and having-died
Γρίπων ὁ γριπεὺς τοῦτον ἔχωσε τάφον.
Gripon the fisherman this heaped tomb

505. ΣΑΠΦΟΥΣ

505 of-Sappho

Τῷ γριπεῖ Πελάγωνι πατὴρ ἐπέθηκε Μενίσκος
To-the fisherman Pelagon father set Meniscus
κύρτον καὶ κώπαν, μνᾶμα κακοζοΐας.
weel and oar memorial of-ill-living

506. ΛΕΩΝΙΔΑ

506 of-Leonidas

Κἠν γῇ καὶ πόντῳ κεκρύμμεθα· τοῦτο περισσὸν
Both-in earth and sea we-are-hidden this excessive
ἐκ Μοιρέων Θάρσυς Χαρμίδου ἠνύσατο.
from Fates Tharsys of-Charmides accomplished
ἦ γὰρ ἐπ' ἀγκύρης ἔνοχον βάρος εἰς ἅλα δύνων,
truly for on anchor caught weight into sea sinking
Ἰόνιόν θ' ὑγρὸν κῦμα κατερχόμενος,
Ionian and wet wave descending
τὴν μὲν ἔσωσ', αὐτὸς δὲ μετάτροπος ἐκ βυθοῦ ἔρρων
it indeed I-saved I and turned-back from depth going
ἤδη καὶ ναύταις χεῖρας ὀρεγνύμενος,
already also to-sailors hands stretching
ἐβρώθην· τοιόν μοι ἐπ' ἄγριον εὖ μέγα κῆτος
I-was-eaten such to-me over savage very great sea-monster
ἦλθεν, ἀπέβροξεν δ' ἄχρις ἐπ' ὀμφαλίου.
came bit-off and up-to to navel
χἤμισυ μὲν ναῦται, ψυχρὸν βάρος, ἐξ ἁλὸς ἡμῶν
and-the-half indeed sailors cold weight from sea of-us
ἤρανθ', ἥμισυ δὲ πρίστις ἀπεκλάσατο·
lifted half and saw-fish broke-off

ἠόνι δ' ἐν ταύτῃ κακὰ λείψανα Θάρσυος, ὦνερ,
on-shore and in this evil remains of-Tharsys O-man
ἔκρυψαν· πάτρην δ' οὐ πάλιν ἱκόμεθα.
they-hid fatherland and not again we-reached

507 a. ΣΙΜΩΝΙΔΟΥ

507 a of-Simonides

Ἄνθρωπ', οὐ Κροίσου λεύσσεις τάφον, ἀλλὰ γὰρ ἀνδρὸς
Man not of-Croesus you-see tomb but for of-man
χερνήτεω μικρὸς τύμβος, ἐμοὶ δ' ἱκανός.
of-laborer small tomb to-me but sufficient

507 b. ΤΟΥ ΑΥΤΟΥ

507 b of-the same

Οὐκ ἐπιδὼν νύμφεια λέχη κατέβην τὸν ἄφυκτον
Not having-looked-on bridal beds I-went-down the inescapable
Γόργιππος ξανθῆς Φερσεφόνης θάλαμον.
Gorgippus of-fair of-Persephone chamber

508. ΤΟΥ ΑΥΤΟΥ

508 of-the same

Παυσανίην ἰητρὸν ἐπώνυμον, Ἀγχίτεω υἱόν,
Pausanias physician named-for-his-craft of-Anchites son
τόνδ', Ἀσκληπιάδην, πατρὶς ἔθαψε Γέλα,
this Asclepiad fatherland buried Gela

ὃς πλείστους κρυεραῖσι μαραινομένους ὑπὸ νούσοις
who very-many chilling withering by diseases
φῶτας ἀπέστρεψεν Φερσεφόνης θαλάμων.
men turned-back of-Persephone from-chambers

509. ΤΟΥ ΑΥΤΟΥ

509 of-the same

Σῆμα Θεόγνιδός εἰμι Σινωπέος, ᾧ μ' ἐπέθηκεν
Tomb of-Theognis I-am of-Sinope for-whom me set
Γλαῦκος ἑταιρείης ἀντὶ πολυχρονίου.
Glaucus of-companionship for long-lasting

510. ΤΟΥ ΑΥΤΟΥ

510 of-the same

Σῶμα μὲν ἀλλοδαπὴ κεύθει κόνις· ἐν δέ σε πόντῳ,
Body indeed foreign hides dust in but you sea
Κλείσθενες, Εὐξείνῳ μοῖρ' ἔκιχεν θανάτου
Cleisthenes Euxine fate overtook of-death
πλαζόμενον· γλυκεροῦ δὲ μελίφρονος οἴκαδε νόστου
wandering of-sweet and of-honey-minded homeward of-return
ἤμπλακες, οὐδ' ἵκευ Χῖον ἐπ' ἀμφιρύτην.
you-failed nor you-reached Chios to sea-girt

511. ΤΟΥ ΑΥΤΟΥ

511 of-the same

Σῆμα καταφθιμένοιο Μεγακλέος εὖτ' ἂν ἴδωμαι,
Tomb of-perished of-Megacles when — I-see
οἰκτείρω σε, τάλαν Καλλία, οἷ' ἔπαθες.
I-pity you wretched Callias what you-suffered

512. ΤΟΥ ΑΥΤΟΥ

512 of-the same

Τῶνδε δι' ἀνθρώπων ἀρετὰν οὐχ ἵκετο καπνὸς
Of-these through of-men valor not reached smoke
αἰθέρα δαιομένης εὐρυχόρου Τεγέας,
air of-burning of-spacious of-Tegea
οἳ βούλοντο πόλιν μὲν ἐλευθερίᾳ τεθαλυῖαν
who wished city indeed with-freedom flourishing
παισὶ λιπεῖν, αὐτοὶ δ' ἐν προμάχοισι θανεῖν.
to-children to-leave themselves but among front-fighters to-die

513. ΤΟΥ ΑΥΤΟΥ

513 of-the same

Φῆ ποτε Πρωτόμαχος, πατρὸς περὶ χεῖρας ἔχοντος,
Said once Protomachus of-father around hands holding
ἡνίκ' ἀφ' ἱμερτὴν ἔπνεεν ἡλικίην·
when away lovely he-breathed-out youth
"Ὦ Τιμηνορίδη, παιδὸς φίλου οὔ ποτε λήξεις
O son-of-Timenor of-son of-dear not ever you-will-cease
οὔτ' ἀρετὴν ποθέων οὔτε σαοφροσύνην."
neither valor longing nor temperance

514. ΤΟΥ ΑΥΤΟΥ

514 of-the same

Αἰδὼς καὶ Κλεόδημον ἐπὶ προχοῇσι Θεαίρου
Shame also Cleodemus at outpourings of-Theaerus
ἀενάου στονόεντ' ἤγαγεν εἰς θάνατον,
of-ever-flowing grievous led to death
Θρηϊκίῳ κύρσαντα λόχῳ· πατρὸς δὲ κλεεννὸν
with-Thracian having-met with-ambush of-father and famous
Διφίλου αἰχμητὴς υἱὸς ἔθηκ' ὄνομα.
of-Diphilus spearman son made name

EPIGRAMS 515–533

Timarchus dies before marriage, and a murdered man asks Zeus to repay his killers. Callimachus' epitaphs follow: Basilo dies the evening her brother is buried; Astacides the goatherd is carried off by a Nymph; Charmis dies suddenly; Timarchus is found among the pious; Critias, Timonoe and Cimon are named. Charidas reports that below is darkness, the way up a lie, Pluto a fable. Callimachus names his father and himself. Othryades dies at Thyrea; Theudotus, Phaenarete and Dorotheus are mourned; Niobe asks Charon to take her and her children, a cargo that fills his boat; a Spartan mother kills her son for fleeing; and Eteocles leaves farming for the sea and drowns.

515. ΤΟΥ ΑΥΤΟΥ

515 of-the same

Αἰαῖ, νοῦσε βαρεῖα· τί δὴ ψυχαῖσι μεγαίρεις
Alas disease heavy why indeed to-souls you-grudge
ἀνθρώπων ἐρατῇ πὰρ νεότητι μένειν;
of-men lovely by youth to-remain

ἦ καὶ Τίμαρχον γλυκερῆς αἰῶνος ἄμερσας
who also Timarchus of-sweet of-life you-deprived
ἠίθεον, πρὶν ἰδεῖν κουριδίην ἄλοχον.
youth before to-see wedded wife

516. ΤΟΥ ΑΥΤΟΥ

516 of-the same

Οἱ μὲν ἐμὲ κτείναντες ὁμοίων ἀντιτύχοιεν,
They indeed me having-killed of-like may-meet-in-return
Ζεῦ Ξένι᾽· οἱ δ᾽ ὑπὸ γᾶν θέντες ὄναιντο βίου.
Zeus Hospitable they and under earth having-placed may-enjoy life

517. ΚΑΛΛΙΜΑΧΟΥ

517 of-Callimachus

Ἠῷοι Μελάνιππον ἐθάπτομεν, ἠελίου δὲ
At-dawn Melanippus we-buried of-sun and
δυομένου Βασιλὼ κάθανε παρθενικὴ
setting Basilo died maiden
αὐτοχερί· ζώειν γάρ, ἀδελφεὸν ἐν πυρὶ θεῖσα,
by-her-own-hand to-live for brother on pyre having-placed
οὐκ ἔτλη. δίδυμον δ᾽ οἶκος ἐσεῖδε κακὸν
not she-endured double and house saw evil
πατρὸς Ἀριστίπποιο· κατήφησεν δὲ Κυρήνη
of-father of-Aristippus was-downcast and Cyrene
πᾶσα, τὸν εὔτεκνον χῆρον ἰδοῦσα δόμον.
all the blessed-in-children bereaved having-seen house

518. ΤΟΥ ΑΥΤΟΥ

518 of-the same

Ἀστακίδην τὸν Κρῆτα, τὸν αἰπόλον, ἥρπασε Νύμφη
Astacides the Cretan the goatherd snatched Nymph
ἐξ ὄρεος· καὶ νῦν ἱερὸς Ἀστακίδης.
from mountain and now holy Astacides
οὐκέτι Δικταίῃσιν ὑπὸ δρυσίν, οὐκέτι Δάφνιν
no-longer Dictaean under oaks no-longer Daphnis
ποιμένες, Ἀστακίδην δ' αἰὲν ἀεισόμεθα.
shepherds Astacides but always we-will-sing

519. ΤΟΥ ΑΥΤΟΥ

519 of-the same

Δαίμονα τίς δ' εὖ οἶδε τὸν αὔριον, ἀνίκα καὶ σέ,
Fate who and well knows the of-tomorrow when even you
Χάρμι, τὸν ὀφθαλμοῖς χθιζὸν ἐν ἁμετέροις,
Charmis the eyes yesterday in our
τᾷ ἑτέρᾳ κλαύσαντες ἐθάπτομεν; οὐδὲν ἐκείνου
on-the next having-wept we-buried nothing than-that
εἶδε πατὴρ Διοφῶν χρῆμ' ἀνιαρότερον.
saw father Diophon thing more-grievous

520. ΤΟΥ ΑΥΤΟΥ

520 of-the same

Ἤν δίζῃ Τίμαρχον ἐν Ἅιδος, ὄφρα πύθηαι
If you-seek Timarchus in of-Hades that you-may-learn
ἤ τι περὶ ψυχῆς, ἢ πάλι πῶς ἔσεαι,
either something about soul or again how you-will-be

δίζεσθαι φυλῆς Πτολεμαΐδος, υἱέα πατρὸς
to-seek of-tribe Ptolemais son of-father
Παυσανίου· δήεις δ' αὐτὸν ἐν εὐσεβέων.
of-Pausanias you-will-find and him among pious

521. ΤΟΥ ΑΥΤΟΥ

521 of-the same

Κύζικον ἢν ἔλθῃς, ὀλίγος πόνος Ἱππακὸν εὑρεῖν
Cyzicus if you-come small toil Hippacus to-find
καὶ Διδύμην· ἀφανὴς οὔτι γὰρ ἡ γενεή·
and Didyme obscure not-at-all for the family
καί σφιν ἀνιηρὸν μὲν ἐρεῖς ἔπος, ἔμπα δὲ λέξαι
and to-them grievous indeed you-will-say word nevertheless but to-say
τοῦθ', ὅτι τὸν κείνων ὧδ' ἐπέχω Κριτίην.
this that the their here I-hold Critias

522. ΤΟΥ ΑΥΤΟΥ

522 of-the same

Τιμονόη, τίς δ' ἐσσί; μὰ δαίμονας,
Timonoe who but are-you by gods
οὔ σ' ἂν ἐπέγνων,
not you — I-would-have-known
εἰ μὴ Τιμοθέου πατρὸς ἐπῆν ὄνομα
if not of-Timotheus of-father were-on name
στήλῃ, καὶ Μήθυμνα τεὴ πόλις. ἦ μέγα φημὶ
on-stele and Methymna your city truly greatly I-say
χῆρον ἀνιᾶσθαι σὸν πόσιν Εὐθυμένη.
bereaved to-grieve your husband Euthymenes

523. ΤΟΥ ΑΥΤΟΥ

523 of-the same

Οἵτινες Ἀλείοιο παρέρπετε σᾶμα Κίμωνος
Whoever of-Elean pass-by tomb of-Cimon
ἴστε τὸν Ἱππαίου παῖδα παρερχόμενοι.
know the of-Hippaeus son passing-by

524. ΤΟΥ ΑΥΤΟΥ

524 of-the same

— Ἦ ῥ' ὑπὸ σοὶ Χαρίδας ἀναπαύεται; —
Truly then under you Charidas rests
Εἰ τὸν Ἀρίμμα
If the of-Arimmas
τοῦ Κυρηναίου παῖδα λέγεις, ὑπ' ἐμοί.
the of-Cyrene son you-mean under me
— Ὦ Χαρίδα, τί τὰ νέρθε; — Πολὺς σκότος. —
O Charidas what the below Much darkness
Αἱ δ' ἄνοδοι τί;
The and ways-up what
— Ψεῦδος. — Ὁ δὲ Πλούτων; — Μῦθος. —
Lie The and Pluto Fable
Ἀπωλόμεθα.
We-are-lost
— Οὗτος ἐμὸς λόγος ὔμμιν ἀληθινός· εἰ δὲ τὸν ἡδὺν
This my word to-you true if but the pleasant
βούλει, πελλαίου βοῦς μέγας εἰν ἀΐδῃ.
you-want of-Pellaean ox great in Hades

525. ΤΟΥ ΑΥΤΟΥ

525 of-the same

Ὅστις ἐμὸν παρὰ σῆμα φέρεις πόδα, Καλλιμάχου με
Whoever my by tomb bear foot of-Callimachus me
ἴσθι Κυρηναίου παῖδά τε καὶ γενέτην.
know of-Cyrenean son both and father
εἰδείης δ' ἄμφω κεν·
you-would-know and both —
ὁ μέν κοτε πατρίδος ὅπλων
the(-one) indeed once of-fatherland of-arms
ἦρξεν· ὁ δ' ἤεισεν κρέσσονα βασκανίης.
commanded the(-other) and sang stronger than-envy
οὐ νέμεσις· Μοῦσαι γὰρ ὅσους ἴδον ὄμματι παῖδας
not wonder Muses for as-many-as saw with-eye children
μὴ λοξῷ πολιοὺς οὐκ ἀπέθεντο φίλους.
not with-askance gray not put-away friends

526. ΝΙΚΑΝΔΡΟΥ ΚΟΛΟΦΩΝΙΟΥ

526 of-Nicander of-Colophon

Ζεῦ πάτερ, Ὀθρυάδα τίνα φέρτερον ἔδρακες ἄλλον,
Zeus father than-Othryades whom better did-you-see other
ὃς μόνος ἐκ Θυρέας οὐκ ἐθέλησε μολεῖν
who alone from Thyrea not wished to-come
πατρίδ' ἐπὶ Σπάρταν, διὰ δὲ ξίφος ἤλασε πλευρᾶν,
fatherland to Sparta through and sword drove of-ribs
δοῦλα καταγράψας σκῦλα κατ' Ἰναχιδᾶν;
slave's having-inscribed spoils over Inachids

527. ΘΕΟΔΩΡΙΔΑ

527 of-Theodoridas

Θεύδοτε, κηδεμόνων μέγα δάκρυον, οἵ σε θανόντα
Theudotus of-kinsmen great tear who you having-died
κώκυσαν, μέλεον πυρσὸν ἀναψάμενοι,
wailed wretched torch having-kindled
αἰνόλινε, τρισάωρε· σὺ δ' ἀντὶ γάμου τε καὶ ἥβης
ill-fated thrice-unripe you and instead-of marriage both and youth
κάλλιπες ἡδίστῃ ματρὶ γόους καὶ ἄχη.
you-left to-sweetest to-mother laments and griefs

528. ΤΟΥ ΑΥΤΟΥ

528 of-the same

Εὐρύσορον περὶ σῆμα τὸ Φαιναρέτης ποτὲ κοῦραι
Spacious around tomb the of-Phaenarete once girls
κέρσαντο ξανθοὺς Θεσσαλίδες πλοκάμους,
sheared fair Thessalian locks
πρωτοτόκον καὶ ἄποτμον ἀτυζόμεναι περὶ νύμφην·
first-bearing and ill-fated distraught about bride
Λάρισσαν δὲ φίλην ἤκαχε καὶ τοκέας.
Larissa and dear grieved and parents

529. ΤΟΥ ΑΥΤΟΥ

529 of-the same

Τόλμα καὶ εἰς ἀΐδαν καὶ ἐς οὐρανὸν ἄνδρα κομίζει,
Daring both to Hades and to heaven man brings
ἃ καὶ Σωσάνδρου παῖδ' ἐπέβασε πυρᾶς,
which also of-Sosander son set-on pyre

Δωρόθεον· Φθίᾳ γὰρ ἐλεύθερον ἦμαρ ἰάλλων
Dorotheus for-Phthia for free day sending
ἐρραίσθη Σηκῶν μεσσόθι καὶ Χιμέρας.
was-broken of-Secoi in-the-middle and of-Chimera

530. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ

530 of-Antipater of-Thessalonica

Μούναν σὺν τέκνοις νεκυοστόλε δέξο με πορθμεῦ
Alone with children corpse-ferrying receive me ferryman
τὰν λάλον· ἀρκεῖ σοι φόρτος ὁ Τανταλίδης·
the chattering suffices for-you cargo the Tantalid
πληρώσει γαστὴρ μία σὸν σκάφος· εἴσιδε κούρους
will-fill womb one your boat look-at sons
καὶ κούρας, Φοίβου σκῦλα καὶ Ἀρτέμιδος.
and daughters of-Phoebus spoils and of-Artemis

531. ΤΟΥ ΑΥΤΟΥ

531 of-the same

Αὐτά τοι, τρέσσαντι παρὰ χρέος, ὤπασεν ᾅδαν,
She-herself to-you having-fled against duty gave Hades
βαψαμένα κοίλων ἐντὸς ἄρη λαγόνων,
having-dipped of-hollow within steel of-flanks
μάτηρ ἅ σ' ἔτεκεν, Δαμάτριε· φᾶ δὲ σίδαρον
mother who you bore Demetrius said and iron
παιδὸς ἑοῦ φύρδαν μεστὸν ἔχουσα φόνου,
of-son her-own confusedly full having of-slaughter
ἀφριόεν κοναβηδὸν ἐπιπρίουσα γένειον,
foaming clashingly grinding jaw

δερκομένα λοξαῖς, οἷα Λάκαινα, κόραις·
looking with-askance as Laconian with-eyes
"Λεῖπε τὸν Εὐρώταν, ἴθι Τάρταρον· ἀνίκα δειλὰν
Leave — Eurotas go to-Tartarus when cowardly
οἶσθα φυγάν, τελέθεις οὔτ' ἐμὸς οὔτε Λάκων."
you-know flight you-are neither mine nor Laconian

532. ΙΣΙΔΩΡΟΥ ΑΙΓΕΑΤΟΥ

532 of-Isidorus of-Aegae

Ἔκ με γεωμορίης Ἐτεοκλέα πόντιος ἐλπὶς
From me farming Eteocles sea hope
εἵλκυσεν, ὀθνείης ἔμπορον ἐργασίης·
drew foreign merchant of-trade
νῶτα δὲ Τυρσηνῆς ἐπάτευν ἁλός· ἀλλ' ἅμα νηὶ
back and of-Tyrrhenian I-trod sea but together with-ship
πρηνιχθεὶς κείνης ὕδασιν ἐγκατέδυν,
upset of-that in-waters I-sank
ἀθρόον ἐμβρίσαντος ἀήματος. οὐκ ἄρ' ἀλωὰς
all-at-once having-swooped of-blast not then threshing-floors
αὐτὸς ἐπιπνείει κεἰς ὀθόνας ἄνεμος.
the-same blows-on and-to sails wind

533. ΔΙΟΝΥΣΙΟΥ ΑΝΔΡΙΟΥ

533 of-Dionysius of-Andros

Καὶ Διὶ καὶ Βρομίῳ με διάβροχον οὐ μέγ' ὀλισθεῖν,
Both by-Zeus and by-Bromius me drenched not great to-slip
καὶ μόνον ἐκ δοιῶν, καὶ βροτὸν ἐκ μακάρων.
and alone from two and mortal from blessed

Cleonicus sets out to sea at the setting of the Pleiades and sinks with them, and Pan will no longer live on the mountains now Daphnis is dead. Brambles grow on Hipponax's grave. Lysis builds an empty tomb for his son, and Manes the slave is as great as Darius in death. Theotimus drowns in the Aegean, two young men killed by Thracians are reported to their father, and Chaeronides fell fighting at the Achaean Trench. A boy is beheaded by ice on the Hebrus and only his head is buried. Theogenes drowns, robbers kill Lampon's son Derxias by guile, Aristonous goes down to Hades, and the crow-hunter Ariston is dead.

534. ΑΥΤΟΜΕΔΟΝΤΟΣ ΑΙΤΩΛΟΥ

534 of-Automedon of-Aetolia

Ἄνθρωπε, ζωῆς περιφείδεο, μηδὲ παρ' ὥρην
Man of-life be-sparing nor beyond season
ναυτίλος ἴσθι· καὶ ὡς οὐ πολὺς ἀνδρὶ βίος.
sailor be even so not long to-man life
δείλαιε Κλεόνικε, σὺ δ' εἰς λιπαρὴν Θάσον ἐλθεῖν
wretched Cleonicus you but to bright Thasos to-come
ἠπείγευ, Κοίλης ἔμπορος ἐκ Συρίης,
you-hastened of-Hollow merchant from Syria
ἔμπορος, ὦ Κλεόνικε· δύσιν δ' ὑπὸ Πλειάδος αὐτὴν
merchant O Cleonicus setting and at of-Pleiad itself
ποντοπορῶν, αὐτῇ Πλειάδι συγκατέδυς.
seafaring with-the-very Pleiad you-set-together

535. ΜΕΛΕΑΓΡΟΥ

535 of-Meleager

Οὐκέθ' ὁμοῦ χιμάροισιν ἔχειν βίον, οὐκέτι ναίειν
No-longer together with-goats to-have life no-longer to-dwell
ὁ τραγόπους ὀρέων Πὰν ἐθέλω κορυφάς.
the goat-footed of-mountains Pan I-wish peaks
τί γλυκύ μοι, τί ποθεινὸν ἐν οὔρεσιν; ὤλετο Δάφνις,
what sweet to-me what desired in mountains perished Daphnis
Δάφνις ὃς ἡμετέρῃ πῦρ ἔτεκε κραδίῃ.
Daphnis who in-our fire begot in-heart
ἄστυ τόδ' οἰκήσω· θηρῶν δέ τις ἄλλος ἐπ' ἄγρην
town this I-will-inhabit of-beasts and someone other to hunt
στελλέσθω. τὰ πάροιθ' οὐκέτι Πανὶ φίλα.
let-set-out the before no-longer to-Pan dear

536. ΑΛΚΑΙΟΥ [ΜΙΤΥΛΗΝΑΙΟΥ]

536 of-Alcaeus of-Mitylene

Οὐδὲ θανὼν ὁ πρέσβυς ἑῷ ἐπιτέτροφε τύμβῳ
Not-even having-died the old-man on-his-own has-reared on-tomb
βότρυν ἀπ' οἰνάνθης ἥμερον, ἀλλὰ βάτον,
cluster from vine-blossom cultivated but bramble
καὶ πνιγόεσσαν ἄχερδον, ἀποστύφουσαν ὁδιτῶν
and choking wild-pear puckering of-wayfarers
χείλεα καὶ δίψει καρφαλέον φάρυγα.
lips and with-thirst parched throat
ἀλλά τις Ἱππώνακτος ἐπὴν παρὰ σῆμα νέηται,
but someone of-Hipponax when by tomb goes
εὐχέσθω κνώσσειν εὐμενέοντα νέκυν.
let-pray to-slumber kindly corpse

537. ΦΑΝΙΟΥ [ΓΡΑΜΜΑΤΙΚΟΥ]

537 of-Phanias the-Grammarian

Ἠρίον οὐκ ἐπὶ πατρί, πολυκλαύτου δ' ἐπὶ παιδὸς
Tomb not for father much-lamented but for son
Λῦσις ἄχει κενεὴν τήνδ' ἀνέχωσε κόνιν,
Lysis in-grief empty this heaped dust
οὔνομα ταρχύσας, ἐπεὶ οὐχ ὑπὸ χεῖρα τοκήων
name having-buried since not under hand of-parents
ἤλυθε δυστήνου λείψανα Μαντιθέου.
came of-ill-fated remains of-Mantitheus

538. ΑΝΥΤΗΣ

538 of-Anyte

Μάνης οὗτος ἀνὴρ ἦν ζῶν ποτέ· νῦν δὲ τεθνηκὼς
Manes this man was living once now and having-died
ἶσον Δαρείῳ τῷ μεγάλῳ δύναται.
equal to-Darius the great is-able

539. ΠΕΡΣΟΥ ΠΟΙΗΤΟΥ

539 of-Perses the-Poet

Οὐ προϊδών, Θεότιμε, κακὴν δύσιν ὑετίοιο
Not having-foreseen Theotimus evil setting of-rainy
Ἀρκτούρου, κρυερῆς ἥψαο ναυτιλίης,
of-Arcturus chilling you-touched seafaring
ἥ σε, δι' Αἰγαίοιο πολυκλήιδι θέοντα
which you through Aegean with-many-thwarts running
νηί, σὺν οἷς ἑτάροις ἤγαγεν εἰς ἀΐδην.
ship with your-own comrades led to Hades

αἰαῖ, Ἀριστοδίκη δὲ καὶ Εὔπολις, οἳ σ' ἐτέκοντο,
alas Aristodice and also Eupolis who you begot
μύρονται, κενεὸν σῆμα περισχόμενοι.
weep empty tomb embracing

540. ΔΑΜΑΓΗΤΟΥ

540 of-Damagetus

Πρὸς σὲ Διὸς Ξενίου γουνούμεθα, πατρὶ Χαρίνῳ
By you of-Zeus of-Hospitable we-beseech to-father Charinus
ἄγγελον Θήβην, ὦνερ, ἐπ' Αἰολίδα
announce Thebes O-man to Aeolian
Μῆνιν καὶ Πολύνικον ὀλωλότε, καὶ τόδε φαίης,
Menis and Polynicus having-perished and this may-you-say
ὡς οὐ τὸν δόλιον κλαίομεν ἄμμι μόρον,
that not the treacherous we-weep our doom
καίπερ ὑπὸ Θρηκῶν φθίμενοι χερός, ἀλλὰ τὸ κείνου
although by of-Thracians having-perished hand but the of-him
γῆρας ἐν ἀργαλέῃ κείμενον ὀρφανίῃ.
old-age in grievous lying orphanhood

541. ΤΟΥ ΑΥΤΟΥ

541 of-the same

Ἔστης ἐν προμάχοις, Χαιρωνίδη, ὧδ' ἀγορεύσας,
You-stood among front-fighters Chaeronides thus having-spoken
"Ἢ μόρον, ἢ νίκαν, Ζεῦ, πολέμοιο δίδου,"
Either doom or victory Zeus of-war give

ἡνίκα τοι περὶ Τάφρον Ἀχαιΐδα τῇ τότε νυκτὶ
when for-you around Trench Achaean the then night
δυσμενέες θρασέος δῆριν ἔθεντο πόνου.
foes of-bold strife set of-toil
ναὶ μὴν ἀντ᾽ ἀρετῆς σε διακριδὸν Ἄλις ἀείδει,
yes indeed for valor you distinctly Elis sings
θερμὸν ἀνὰ ξείνην αἷμα χέαντα κόνιν.
warm through foreign blood having-shed dust

542. ΦΛΑΚΚΟΥ

542 of-Flaccus

Ἔβρου χειμερίοις ἀταλὸς κρυμοῖσι δεθέντος
Of-Hebrus by-wintry tender by-frosts bound
κοῦρος ὀλισθηροῖς ποσσὶν ἔθραυσε πάγον,
boy with-slippery with-feet broke ice
τοῦ παρασυρομένοιο περιρραγὲς αὐχέν᾽ ἔκοψεν
of-him being-swept-along broken-around neck cut
θηγαλέον ποταμοῦ Βιστονίοιο τρύφος.
sharp of-river of-Bistonian fragment
καὶ τὸ μὲν ἡρπάσθη δίναις μέρος· ἡ δὲ τεκοῦσα
and the indeed was-snatched by-eddies part she and having-borne
λειφθὲν ὕπερθε τάφῳ μοῦνον ἔθηκε κάρα.
left above in-tomb only placed head
μυρομένη δὲ τάλαινα, “Τέκος, τέκος,” εἶπε, “τὸ μέν σου
lamenting and wretched Child child said the indeed of-you
πυρκαϊή, τὸ δέ σου πικρὸν ἔθαψεν ὕδωρ.”
pyre the and of-you bitter buried water

543. ΑΔΕΣΠΟΤΟΝ

543 anonymous

Πάντα τις ἀρήσαιτο φυγεῖν πλόον, ὁππότε καὶ σύ,
Wholly anyone would-pray to-flee voyage when also you
Θεύγενες, ἐν Λιβυκῷ τύμβον ἔθευ πελάγει,
Theogenes in Libyan tomb you-set sea
ἡνίκα σοι κεκμηὸς ἐπέπτατο φορτίδι νηΐ
when on-you weary flew-on cargo ship
οὖλον ἀνηρίθμων κεῖνο νέφος γεράνων.
thick of-countless that cloud of-cranes

544. ΑΔΕΣΠΟΤΟΝ

544 anonymous

Εἰπέ, ποτὶ Φθίαν εὐάμπελον ἦν ποθ' ἵκηαι
Say to Phthia rich-in-vines if ever you-come
καὶ πόλιν ἀρχαίαν, ὦ ξένε, Θαυμακίαν.
and city ancient O stranger Thaumacia
ὡς δρυμὸν Μαλεαῖον ἀναστείβων ποτ' ἔρημον
that thicket Malean climbing once lonely
εἶδες Λάμπωνος τόνδ' ἐπὶ παιδὶ τάφον
you-saw of-Lampon this for son tomb
Δερξίᾳ, ὅν ποτε μοῦνον ἕλον δόλῳ, οὐδ' ἀναφανδόν,
Derxias whom once alone took by-guile nor openly
κλῶπες ἐπὶ Σπάρταν δῖαν ἐπειγόμενον.
robbers to Sparta divine hastening

545. ΗΓΗΣΙΠΠΟΥ

545 of-Hegesippus

Τὴν ἀπὸ πυρκαϊῆς ἐνδέξια φασι κέλευθον
The from pyre on-the-right they-say road
Ἑρμῆν τοὺς ἀγαθοὺς εἰς Ῥαδάμανθυν ἄγειν,
Hermes the good to Rhadamanthys to-lead
ᾗ καὶ Ἀριστόνοος, Χαιρεστράτου οὐκ ἀδάκρυτος
by-which also Aristonous of-Chaerestratus not unwept
παῖς, ἡγησίλεω δῶμ' Ἄϊδος κατέβη.
son of-the-people-leading house of-Hades went-down

546. ΑΔΕΣΠΟΤΟΝ

546 anonymous

Εἶχε κορωνοβόλον πενίης λιμηρὸν Ἀρίστων
Had crow-shooting of-poverty hungry Ariston
ὄργανον, ᾧ πτηνὰς ἠκροβόλιζε χένας,
instrument with-which winged he-shot geese
ἦκα παραστείχων δολίην ὁδόν, οἷος ἐκείνας
softly passing-by treacherous road such them
ψεύσασθαι λοξοῖς ὄμμασι φερβομένας.
to-deceive with-askance with-eyes feeding
νῦν δ' ὁ μὲν εἰν ἀΐδῃ· τὸ δὲ οἱ βέλος ὀρφανὸν ἦχου
now but he indeed in Hades the and his bow orphaned of-sound
καὶ χερός· ἡ δ' ἄγρη τύμβον ὑπερπέταται.
and of-hand the and prey tomb flies-over

547. ΛΕΩΝΙΔΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ

547 of-Leonidas of-Alexandria

Τὰν στάλαν ἐχάραξε Βιάνωρ οὐκ ἐπὶ ματρί,
The stele engraved Bianor not for mother
οὐδ' ἐπὶ τῷ γενέτᾳ, πότμον ὀφειλόμενον,
nor for the father doom owed
παρθενικᾷ δ' ἐπὶ παιδί· κατέστενε δ', οὐχ Ὑμεναίῳ,
maiden but for child he-groaned and not to-Hymenaeus
ἀλλ' Ἀΐδᾳ νύμφαν δωδεκέτιν κατάγων.
but to-Hades bride twelve-years-old leading-down

548. ΤΟΥ ΑΥΤΟΥ

548 of-the same

— Τίς Δαίμων Ἀργεῖος ἐπ' ἠρίῳ; ἆρα σύναιμος
Who Daemon Argive on tomb then brother
ἐστὶ Δικαιοτέλους; — Ἔστὶ Δικαιοτέλους.
is of-Dicaeoteles He-is of-Dicaeoteles
— Ἠχὼ τοῦτ' ἐλάλησε πανύστατον, ἢ τόδ' ἀληθές,
Echo this spoke last or this true
κεῖνος ὅδ' ἐστὶν ἀνήρ; — Κεῖνος ὅδ' ἐστὶν ἀνήρ.
that this is man That this is man

Niobe still weeps on Sipylus, a shipwrecked man escapes the sea only to be killed by a wolf, and the brothers Letoius and Paulus share one tomb. Pericleia's dialogue with a passer-by tells her name, her husband Memnonius and the child she left. Zosime, a slave in body only, is now free in body too. A stonecutter carves his son's tomb with his tears, and a wife praises both the gods below and the wedding gods. Rufinus and Leontius die young, Acestoria mourns Ablabius after Hippocrates and Galen, Craterus moved even his opponents in court to tears, and the pantomime Chryseomallus, who acted in voiceless nods, is silent in death.

549. ΤΟΥ ΑΥΤΟΥ

549 of-the same

Πέτρος ἔτ' ἐν Σιπύλῳ Νιόβη θρήνοις ἀναλύζει
Stone still in Sipylus Niobe with-laments sobs
ἑπτὰ δὶς ὠδίνων δυρομένη θάνατον·
seven twice of-births lamenting death
λήξει δ' οὐδ' αἰῶνι γόου. τί δ' ἀλαζόνα μῦθον
will-cease and not-even in-eternity from-wailing why and boastful word
φθέγξατο, τὸν ζωῆς ἅρπαγα καὶ τεκέων;
uttered the of-life robber and of-children

550. ΤΟΥ ΑΥΤΟΥ

550 of-the same

Ναυηγὸς γλαυκοῖο φυγὼν Τρίτωνος ἀπειλὰς
Shipwrecked of-gray having-escaped of-Triton threats
Ἀνθεὺς Φθιώτην οὐ φύγεν αἰνόλυκον·
Antheus Phthian not escaped terrible-wolf

Πηνειοῦ παρὰ χῦμα γὰρ ὤλετο. φεῦ τάλαν ὅστις
of-Peneus by stream for perished alas wretch who
Νηρεΐδων Νύμφας ἔσχεν ἀπιστοτέρας.
than-Nereids Nymphs found more-faithless

551. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

551 of-Agathias Scholasticus

Λητόϊος καὶ Παῦλος ἀδελφεὼ ἄμφω ἐόντε
Letoius and Paulus brothers both being
ξυνὴν μὲν βιότου συζυγίην ἐχέτην,
common indeed of-life yoke had
ξυνὰ δὲ καὶ Μοίρης λαχέτην λίνα, καὶ παρὰ θῖνα
common and also of-Fate got threads and by shore
Βοσπορίην ξυνὴν ἀμφεβάλοντο κόνιν.
Bosporan common put-on dust
οὐδὲ γὰρ ἀλλήλοιν ζώειν ἀπάνευθε δυνάσθην,
nor for of-one-another to-live apart could
ἀλλὰ συνετρεχέτην καὶ παρὰ Φερσεφόνην.
but ran-together even to Persephone
χαίρετον ὦ γλυκερὼ καὶ ὁμόφρονε· σήματι δ' ὑμέων
farewell O sweet and like-minded on-tomb and your
ὤφελεν ἱδρῦσθαι βωμὸς Ὁμοφροσύνης.
ought to-be-set-up altar of-Concord

552. ΤΟΥ ΑΥΤΟΥ

552 of-the same

— Ὦ ξένε, τί κλαίεις; — Διὰ σὸν μόρον. —
O stranger why do-you-weep For your fate
Οἶσθα τίς εἰμι;
Know-you who I-am
— Οὐ μὰ τόν· ἀλλ᾽ ἔμπης οἰκτρὸν ὁρῶ τὸ τέλος.
No by him but nevertheless piteous I-see the end
ἐσσὶ δὲ τίς; — Περίκλεια. — Γυνὴ τίνος; —
are-you and who Pericleia Wife of-whom
Ἀνδρὸς ἀρίστου,
Of-man best
ῥήτορος, ἐξ Ἀσίης, οὔνομα Μεμνονίου.
orator from Asia by-name Memnonius
— Πῶς δέ σε Βοσπορίη κατέχει κόνις; — Εἴρεο μοῖραν,
How and you Bosporan holds dust Ask fate
ἥ μοι τῆλε πάτρης ξεῖνον ἔδωκε τάφον.
which to-me far from-fatherland foreign gave tomb
— Παῖδα λίπες; — Τριέτηρον, ὃς ἐν μεγάροισιν ἀλύων
Child did-you-leave Three-year-old who in halls wandering
ἐκδέχεται μαζῶν ἡμετέρων σταγόνα.
awaits of-breasts of-our drop
— Αἴθε καλῶς ζώοι. — Ναί, ναί, φίλος, εὔχεο κείνῳ,
Would-that well may-he-live Yes yes friend pray for-him
ὄφρα μοι ἡβήσας δάκρυ φίλον σταλάοι.
that for-me having-grown tear dear he-may-shed

553. ΔΑΜΑΣΚΙΟΥ ΦΙΛΟΣΟΦΟΥ

553 of-Damascius the-Philosopher

Ζωσίμη, ἡ πρὶν ἐοῦσα μόνῳ τῷ σώματι δούλη,
Zosime the before being in-only in-the body slave
καὶ τῷ σώματι νῦν εὗρεν ἐλευθερίην.
also in-the body now found freedom

554. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ

554 of-Philip of-Thessalonica

Λατύπος Ἀρχιτέλης Ἀγαθάνορι παιδὶ θανόντι
Stonecutter Architeles for-Agathanor for-son having-died
χερσὶν ὀϊζυραῖς ἡρμολόγησε τάφον,
with-hands with-wretched fitted tomb
αἰαῖ, πέτρον ἐκεῖνον, ὃν οὐκ ἐκόλαψε σίδηρος,
alas stone that which not carved iron
ἀλλ' ἐτάκη πυκινοῖς δάκρυσι τεγγόμενος.
but melted by-thick by-tears being-wetted
φεῦ, στήλη φθιμένῳ κούφη μένε, κεῖνος ἵν' εἴπῃ·
alas stele for-the-dead light remain he that may-say
" Ὄντως πατρῴη χεὶρ ἐπέθηκε λίθον."
Truly paternal hand set stone

555. ΙΩΑΝΝΟΥ ΠΟΙΗΤΟΥ

555 of-John the-Poet

Ἐς πόσιν ἀθρήσασα παρ' ἐσχατίης λίνα μοίρης
At husband having-gazed by of-last threads of-fate
ᾔνεσα καὶ χθονίους, ᾔνεσα καὶ ζυγίους·
I-praised both underworld-gods I-praised and wedding-gods

τοὺς μέν, ὅτι ζωὸν λίπον ἀνέρα· τοὺς δ', ὅτι τοῖον.
the(-ones) indeed that living they-left husband the(-others) and that such
ἀλλὰ πατήρ μίμνοι παισὶν ἐφ' ἡμετέροις.
but father may-remain for-children for our

555 b. ΤΟΥ ΑΥΤΟΥ

555 b of-the same

Τοῦτο σαοφροσύνας ἀντάξιον εὗρεο, Νοστώ·
This of-chastity worthy you-found Nosto
δάκρυά σοι γαμέτας σπεῖσε καταφθιμένᾳ.
tears to-you husband poured having-perished

556. ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΑΝΘΥΠΑΤΟΥ

556 of-Theodorus the Proconsul

Νηλειὴς Ἀΐδης· ἐπὶ σοὶ δ' ἐγέλασσε θανόντι,
Pitiless Hades at you but laughed having-died
Τίτυρε, καὶ νεκύων θῆκέ σε μιμολόγον.
Tityrus and of-dead made you mime

557. ΚΥΡΟΥ ΠΟΙΗΤΟΥ

557 of-Cyrus the-Poet

Τρεῖς ἐτέων δεκάδες, Μαίης χρόνος· ἐς τρία δ' ἄλλα
Three of-years decades of-Maia time to three and other
ἔτρεχεν, ἀλλ' Ἀΐδης πικρὸν ἔπεμψε βέλος·
was-running but Hades bitter sent arrow

θηλυτέρην δ' ἥρπαξε ῥόδων καλύκεσσιν ὁμοίην,
woman and snatched of-roses to-buds like
πάντ' ἀπομαξαμένην ἔργα τὰ Πηνελόπης.
all having-copied works the of-Penelope

558. ΑΔΕΣΠΟΤΟΝ

558 anonymous

Ἄϊδης μὲν σύλησεν ἐμῆς νεότητος ὀπώρην,
Hades indeed robbed of-my of-youth fruit
κρύψε δὲ παππῴῳ μνήματι τῷδε λίθος.
hid and in-ancestral in-tomb in-this stone
οὔνομα Ῥουφῖνος γενόμην, παῖς Αἰθερίοιο,
by-name Rufinus I-was son of-Aetherius
μητρὸς δ' ἐξ ἀγαθῆς· ἀλλὰ μάτην γενόμην.
of-mother and from good but in-vain I-was
ἐς γὰρ ἄκρον μούσης τε καὶ ἥβης ἦκον ἐλάσσας,
to for top of-Muse both and of-youth I-came having-driven
φεῦ, σοφὸς εἰς ἀΐδην, καὶ νέος εἰς ἔρεβος.
alas wise to Hades and young to Erebus
κώκυε καὶ σὺ βλέπων τάδε γράμματα μακρόν, ὁδῖτα·
wail also you looking-at these letters long wayfarer
δὴ γὰρ ἔφυς ζωῶν ἢ πάϊς ἠὲ πατήρ.
indeed for you-were-born of-the-living either son or father

559. ΘΕΟΣΕΒΕΙΑΣ

559 of-Theosebeia

Εἶδεν Ἀκεστορίη τρία πένθεα· κείρατο χαίτην
Saw Acestoria three griefs cut hair
πρῶτον ἐφ' Ἱπποκράτει, καὶ δεύτερον ἀμφὶ Γαληνῷ·
first for Hippocrates and second about Galen
καὶ νῦν Ἀβλαβίου γοερῷ περὶ σήματι κεῖται,
and now of-Ablabius mournful around tomb lies
αἰδομένη μετὰ κεῖνον ἐν ἀνθρώποισι φανῆναι.
ashamed after him among men to-appear

560. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ

560 of-Paul the-Silentiary

Εἰ καὶ ἐπὶ ξείνης σε, Λεόντιε, γαῖα καλύπτει,
If even in foreign you Leontius earth covers
εἰ καὶ ἐρικλαύτων τῆλ' ἔθανες γονέων,
if even of-much-weeping far you-died parents
πολλά σοι ἐκ βλεφάρων ἐχύθη περιτύμβια φωτῶν
many for-you from eyelids were-poured about-the-tomb of-men
δάκρυα, δυστλήτῳ πένθεϊ δαπτομένων.
tears by-hard-to-bear by-grief being-devoured
πᾶσι γὰρ ἦσθα λίην πεφιλημένος, οἷά τε πάντων
to-all for you-were very loved as — of-all
ξυνὸς ἐὼν κοῦρος, ξυνὸς ἐὼν ἕταρος.
common being youth common being comrade
αἰαῖ, λευγαλέη καὶ ἀμείλιχος ἔπλετο Μοῖρα,
alas grievous and implacable was Fate
μηδὲ τεῆς ἥβης, δύσμορε, φεισαμένη.
not-even of-your of-youth ill-fated having-spared

561. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠΑΡΧΩΝ ΑΙΓΥΠΤΙΟΥ

561 of-Julian from the-Prefects of-Egypt

Ἡ Φύσις ὠδίνασα πολὺν χρόνον ἀνέρ' ἔτικτεν
— Nature having-labored much time man bore
ἄξιον εἰς ἀρετὴν τῶν προτέρων ἐτέων,
worthy in virtue of-the former of-years
τὸν Κρατερὸν σοφίην τε καὶ οὔνομα, τὸν καὶ ἀνιγροῖς
— Craterus wisdom both and name the even to-grievous
κινήσαντα γόῳ δάκρυον ἀντιπάλοις.
having-moved with-lament tear to-opponents
εἰ δὲ νέος τέθνηκεν, ὑπέρτερα νήματα Μοίρης
if but young he-died superior threads of-Fate
μέμφεο, βουλομένης κόσμον ἄκοσμον ἔχειν.
blame wishing world disorderly to-have

562. ΤΟΥ ΑΥΤΟΥ

562 of-the same

Ὦ φθέγμα Κρατεροῖο, τί σοι πλέον εἴ γε καὶ αὐδῆς
O voice of-Craterus what to-you more if indeed both of-speech
ἔπλεο καὶ σιγῆς αἴτιον ἀντιπάλοις;
you-were and of-silence cause to-opponents
ζῶντος μὲν γὰρ ἅπαντες ἐφώνεον· ἐκ δὲ τελευτῆς
living indeed for all spoke from and end
ὑμετέρης ἰδίην αὖθις ἔδησαν ὄπα.
of-your own again bound voice
οὔτις γὰρ μετὰ σεῖο μόρον τέτληκε τανύσσαι
no-one for after your fate has-dared to-stretch
ὦτα λόγοις· Κρατερῷ δ' ἓν τέλος ἠδὲ λόγοις.
ears to-speeches to-Craterus and one end and to-speeches

563. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ

563 of-Paul the-Silentiary

Σιγᾷς Χρυσεόμαλλε τὸ χάλκεον, οὐκέτι δ' ἡμῖν
You-are-silent Chryseomallus the bronze no-longer and for-us
εἰκόνας ἀρχεγόνων ἐκτελέεις μερόπων
images of-first-born you-will-accomplish of-mortals
νεύμασιν ἀφθόγγοισι· τεὴ δ', ὄλβιστε, σιωπὴ
with-nods with-voiceless your and most-blessed silence
νῦν στυγερὴ τελέθει, τῇ πρὶν ἐθελγόμεθα.
now hateful is by-which before we-were-charmed

Laodice's tomb is restored by Maximus, and the painter of Theodote should have failed. Agathias' epitaphs follow: Candaules' wife would not be seen by two men, a girl of fourteen dies before marriage, and a wife asks her husband for a cenotaph. Dulcitius rises to proconsul, Plato the harpist and the lawyers Cheiredius and Agathonicus are mourned, and two adulterers are crushed together by a falling roof. Rhode of Tyre, Pyrrho's suspension of judgment, a man buried at a crossroads, the hunter Panopeus killed by a scorpion, and the orator Peter, killed by a fall at the theater, close the section.

564. ΑΔΕΣΠΟΤΟΝ

564 anonymous

Τῇδέ ποτ' ἀκτερέϊστον ἐδέξατο γαῖα χανοῦσα
Here once unburied received earth having-gaped
Λαοδίκην, δηΐων ὕβριν ἀλευομένην.
Laodice of-foes outrage avoiding
σῆμα δ' ἀμαλδύναντος ἀνωίστοιο χρόνοιο,
tomb but having-effaced of-unexpected of-time
Μάξιμος ἔκδηλον θῆκ' Ἀσίης ὕπατος,
Maximus conspicuous set of-Asia consul
καὶ κούρης χάλκειον ἐπεὶ τύπον ἐφράσατ' ἄλλῃ
and of-girl bronze since image be-noticed elsewhere
κείμενον ἀκλειῶς, τῷδ' ἐπέθηκε κύκλῳ.
lying ingloriously on-this set circle

565. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠΑΡΧΩΝ ΑΙΓΥΠΤΙΟΥ

565 of-Julian from the-Prefects of-Egypt

Αὐτὴν Θειοδότην ὁ ζωγράφος. αἴθε δὲ τέχνης
Herself Theodote the painter would-that and of-art
ἤμβροτε, καὶ λήθην δῶκεν ὀδυρομένοις.
failed also forgetfulness gave to-mourning

566. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ

566 of-Macedonius the-Consul

Γαῖα, καὶ Εἰλείθυια, σὺ μὲν τέκες, ἡ δὲ καλύπτεις·
Earth and Eileithyia you indeed you-bore the(-other) and you-cover
χαίρετον· ἀμφοτέρας ἤνυσα τὸ στάδιον.
farewell both I-finished the course
εἶμι δέ, μὴ νοέων πόθι νίσομαι· οὐδὲ γὰρ ὑμέας
I-go and not knowing where I-will-go nor for you
ἢ τίνος ἢ τίς ἐὼν οἶδα πόθεν μετέβην.
either of-whom or who being I-know whence I-passed

567. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

567 of-Agathias Scholasticus

Κανδαύλου τόδε σῆμα· δίκη δ' ἐμὸν οἶτον ἰδοῦσα
Of-Candaules this tomb justice and my fate having-seen
οὐδὲν ἀλιτραίνειν τὴν παράκοιτιν ἔφη.
nothing to-have-sinned the wife said
ἤθελε γὰρ δισσοῖσιν ὑπ' ἀνδράσι μηδὲ φανῆναι,
she-wished for two by men not-even to-appear
ἀλλ' ἢ τὸν πρὶν ἔχειν, ἢ τὸν ἐπιστάμενον.
but either the former to-have or the knowing

χρῆν ἄρα Κανδαύλην παθέειν κακόν·
it-was-needed then Candaules to-suffer evil
οὐ γὰρ ἂν ἔτλη
not for — he-would-have-dared
δεῖξαι τὴν ἰδίην ὄμμασιν ἀλλοτρίοις.
to-show the his-own to-eyes to-others'

568. ΤΟΥ ΑΥΤΟΥ

568 of-the same

Ἑπτά με δὶς λυκάβαντας ἔχουσαν ἀφήρπασε δαίμων,
Seven me twice years having snatched god
ἣν μούνην Διδύμῳ πατρὶ Θάλεια τέκεν.
whom only to-Didymus to-father Thaleia bore
ἆ Μοῖραι, τί τοσοῦτον ἀπηνέες, οὐδ' ἐπὶ παστοὺς
ah Fates why so-much harsh nor to bridal-chambers
ἠγάγετ' οὐδ' ἐρατῆς ἔργα τεκνοσπορίης;
you-led nor of-lovely works of-child-bearing
οἱ μὲν γὰρ γονέες με γαμήλιον εἰς Ὑμέναιον
the indeed for parents me marital to Hymenaeus
μέλλον ἄγειν· στυγεροῦ δ' εἰς Ἀχέροντος ἔβην.
were-about to-lead of-hateful but to of-Acheron I-went
ἀλλὰ θεοί, λίτομαι, μητρός γε γόους πατέρος τε
but gods I-beseech of-mother indeed laments of-father and
παύσατε, τηκομένων εἵνεκ' ἐμεῦ φθιμένης.
stop wasting for-sake of-me having-perished

569. ΤΟΥ ΑΥΤΟΥ

569 of-the same

Ναὶ λίτομαι, παροδῖτα, φίλῳ κατάλεξον ἀκοίτῃ,
Yes I-beseech wayfarer to-dear tell husband
εὖτ' ἂν ἐμὴν λεύσσῃς πατρίδα Θεσσαλίην·
when — my you-see fatherland Thessaly
"Κάτθανε σὴ παράκοιτις, ἔχει δέ μιν ἐν χθονὶ τύμβος,
Has-died your wife holds and her in earth tomb
αἰαῖ, Βοσπορίης ἐγγύθεν ἠϊόνος·
alas Bosporan near shore
ἀλλά μοι αὐτόθι τεῦχε κενήριον ἐγγύθι σεῖο,
but for-me there make cenotaph near you
ὄφρ' ἀναμιμνήσκῃ τῆς ποτὲ κουριδίης."
that you-may-remember of-the once wedded

570. ΑΔΕΣΠΟΤΟΝ

570 anonymous

Δουλκίτιον μὲν ἄνακτες ἄκρον βιότοιο πρὸς ὄλβον
Dulcitius indeed lords top of-life to prosperity
ἤγαγον ἐξ ἀρετῆς καὶ κλέος ἀνθυπάτων·
led from virtue and glory of-proconsuls
ὡς δὲ φύσις μιν ἔλυσεν ἀπὸ χθονός, ἀθάνατοι μὲν
when and nature him released from earth immortal indeed
αὐτὸν ἔχουσι θεοί, σῶμα δὲ σηκὸς ὅδε.
him have gods body but enclosure this

571. ΛΕΟΝΤΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

571 of-Leontius Scholasticus

Ὀρφέος οἰχομένου, τάχα τις τότε λείπετο Μοῦσα·
Of-Orpheus having-gone perhaps some then was-left Muse
σεῦ δέ, Πλάτων, φθιμένου, παύσατο καὶ κιθάρη·
of-you and Plato having-perished ceased also lyre
ἦν γὰρ ἔτι προτέρων μελέων ὀλίγη τις ἀπορρὼξ
was for still of-former of-songs small some fragment
ἐν σαῖς σωζομένη καὶ φρεσὶ καὶ παλάμαις.
in your being-saved both mind and hands

572. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

572 of-Agathias Scholasticus

Οὐχ ὁσίοις λεχέεσσιν ἐτέρπετο λάθριος ἀνήρ,
Not in-holy in-beds delighted secret man
λέκτρον ὑποκλέπτων ἀλλοτρίης ἀλόχου·
bed stealing of-another's of-wife
ἐξαπίνης δὲ δόμων ὀροφὴ πέσε, τοὺς δὲ κακούργους
suddenly and of-house roof fell the and evildoers
ἔσκεπεν, ἀλλήλοις εἰσέτι μισγομένους.
covered with-one-another still mingling
ξυνὴ δ' ἀμφοτέρους κατέχει παγίς· εἰν ἑνὶ δ' ἄμφω
common and both holds trap in one and both
κεῖνται, συζυγίης οὐκέτι παυόμενοι.
lie of-union no-longer ceasing

573. ΛΕΟΝΤΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

573 of-Leontius Scholasticus

Χειρεδίου τόδε σῆμα, τὸν ἔτρεφεν Ἀτθὶς ἄρουρα
Of-Cheiredius this tomb whom reared Attic soil
εἰκόνα ῥητήρων τῆς προτέρης δεκάδος,
image of-orators of-the former of-decade
ῥηϊδίως πείθοντα δικασπόλον· ἀλλὰ δικάζων
easily persuading judge but judging
οὔποτε τῆς ὀρθῆς οὐδ' ὅσον ἐτράπετο.
never from-the straight not-even as-much-as turned

574. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

574 of-Agathias Scholasticus

Θεσμοὶ μὲν μεμέλητο συνήθεες Ἀγαθονίκῳ·
Laws indeed were-cared-for familiar to-Agathonicus
Μοῖρα δὲ δειμαίνειν οὐ δεδάηκε νόμους·
Fate but to-fear not has-learned laws
ἀλλά μιν ἁρπάξασα σοφῶν ἤμερσε θεμίστων,
but him having-snatched of-wise deprived of-ordinances
οὔπω τῆς νομίμης ἔμπλεον ἡλικίης.
not-yet of-the legal full of-age
οἰκτρὰ δ' ὑπὲρ τύμβοιο κατεστονάχησαν ἑταῖροι
piteously and over tomb groaned comrades
κείμενον, οὗ θιάσου κόσμον ὀδυρόμενοι·
lying of-their of-company ornament lamenting
ἡ δὲ κόμην τίλλουσα γόῳ πληκτίζετο μήτηρ,
the and hair tearing with-wailing beat-herself mother
αἰαῖ, τὸν λαγόνων μόχθον ἐπισταμένη.
alas the of-womb toil knowing

ἔμπης ὄλβιος οὗτος, ὃς ἐν νεότητι μαρανθεὶς
nevertheless blessed this-one who in youth having-withered
ἔκφυγε τὴν βιότου θᾶσσον ἀλιτροσύνην.
escaped the of-life sooner wickedness

575. ΛΕΟΝΤΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

575 of-Leontius Scholasticus

Σῆμα Ῥόδης· Τυρίη δὲ γυνὴ πέλεν· ἀντὶ δὲ πάτρης
Tomb of-Rhode Tyrian and woman was instead and of-fatherland
ἵκετο τήνδε πόλιν, κηδομένη τεκέων.
came-to this city caring-for children
αὐτὴ ἀειμνήστοιο λέχος κόσμησε Γεμέλλου,
herself of-ever-remembered bed adorned of-Gemellus
ὃς πάρος εὐνομίης ἴδμονα θῆκε πόλιν.
who before of-good-order skilled made city
γρηῢς μὲν μόρον εὗρεν, ὄφελλε δὲ μυρία κύκλα
old-woman indeed doom found ought and countless cycles
ζώειν· τῶν ἀγαθῶν οὐ δεχόμεσθα κόρον.
to-live of-the good not we-receive surfeit

576. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠΑΡΧΩΝ ΑΙΓΥΠΤΙΟΥ

576 of-Julian from the-Prefects of-Egypt

— Κάθανες, ὦ Πύρρων; — Ἐπέχω. —
You-died O Pyrrho I-suspend
Πυμάτην μετὰ μοῖραν
Last after fate
φὴς ἐπέχειν; — Ἐπέχω. — Σκέψιν ἔπαυσε τάφος.
you-say to-suspend I-suspend Inquiry stopped tomb

577. ΤΟΥ ΑΥΤΟΥ

577 of-the same

Ὅστις με τριόδοισι μέσαις τάρχυσε θανόντα,
Whoever me at-crossroads at-middle buried having-died
λυγρὰ παθὼν τύμβου μηδ' ὀλίγοιο τύχοι,
baneful having-suffered of-tomb not-even of-small may-be-get
πάντες ἐπεὶ Τίμωνα νέκυν πατέουσιν ὁδῖται,
all since Timon corpse tread wayfarers
καὶ μόρος ἄμμι μόνοις ἄμμορος ἡσυχίης.
and doom to-us alone without-share of-quiet

578. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

578 of-Agathias Scholasticus

Τὸν κρατερὸν Πανοπῆα, τὸν ἀγρευτῆρα λεόντων,
The mighty Panopeus the hunter of-lions
τὸν λασιοστέρνων κέντορα παρδαλίων,
the of-shaggy-breasted goader of-leopards
τύμβος ἔχει· γλαφυρῆς γὰρ ἀπὸ χθονὸς ἔκτανε δεινὸς
tomb holds of-hollow for from earth killed terrible
σκορπίος, οὐτήσας ταρσὸν ὀρεσσιβάτην.
scorpion having-wounded foot mountain-ranging
αἰγανέη δὲ τάλαινα σίγυνά τε πὰρ χθονὶ κεῖται,
spear and wretched hunting-spear and by earth lies
αἰαῖ, θαρσαλέων παίγνια δορκαλίδων.
alas of-bold playthings of-gazelles

579. ΛΕΟΝΤΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

579 of-Leontius Scholasticus

Πέτρου ὁρᾷς ῥητῆρος ἀεὶ γελόωσαν ὀπωπήν,
Of-Peter you-see of-orator always laughing face
ἐξόχου εἰν ἀγοραῖς, ἐξόχου ἐν φιλίῃ.
eminent in assemblies eminent in friendship
ἐν δὲ Διωνύσου θηεύμενος ὤλετο μοῦνος,
in and of-Dionysus watching perished alone
ὑψόθεν ἐκ τέγεος σὺν πλεόνεσσι πεσών,
from-above from roof with more having-fallen
βαιὸν ἐπιζήσας, ὅσον ἤρκεσε. τοῦτον ἔγωγε
little having-survived as-much-as sufficed this I-at-least
ἄγριον οὐ καλέω, τὸν δὲ φύσει θάνατον.
savage not call the but by-nature death

Julian's murdered man says the eye of Justice will see him, and his killer is thanked for a tomb. A shipwrecked man is told to blame the winds and not the sea. In Agathias' epitaph a dead child lies unborn in its mother's womb, which serves it for a tomb, and in Julian's the fisherman Mygdon is burned with his boat. Pamphilus the philosopher drowns and rises to heaven. Damocharis the grammarian, Eustorgius the young lawyer, John, Hypatius, whom the sea buried, and the learned Eugenia are mourned. Theodorus is remembered by his books. Theodotus and Eugenia, parted in life by envy and not by hatred, are both acquitted by Minos, and a singer's voice is silenced.

580. ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ

580 of-Julian of-Egypt

Οὔποτέ με κρύψεις ὑπὸ πυθμένα νείατον αἴης
Never me you-will-hide under bottom lowest of-earth
τόσσον, ὅσον κρύψαι πάνσκοπον ὄμμα Δίκης.
so-much as-much-as to-hide all-seeing eye of-Justice

581. ΤΟΥ ΑΥΤΟΥ

581 of-the same

Ἀντὶ φόνου τάφον ἄμμι χαρίζεαι, ἀλλὰ καὶ αὐτὸς
Instead-of murder tomb to-us you-grant but also yourself
ἴσων ἀντιτύχοις οὐρανόθεν χαρίτων.
equal may-you-meet-in-return from-heaven favors

582. ΤΟΥ ΑΥΤΟΥ

582 of-the same

Χαῖρέ μοι, ὦ ναυηγέ, καὶ εἰς Ἀΐδαο περήσας
Farewell to-me O shipwrecked and to of-Hades having-crossed
μέμφεο μὴ πόντου κύμασιν, ἀλλ' ἀνέμοις.
blame not of-sea waves but winds
κεῖνοι μέν σ' ἐδάμασσαν· ἁλὸς δέ σε μείλιχον ὕδωρ
they indeed you subdued of-sea but you gentle water
ἐς χθόνα καὶ πατέρων ἐξεκύλισε τάφους.
to land and of-fathers rolled-out tombs

583. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

583 of-Agathias Scholasticus

Ἀβάλε μηδ' ἐγένοντο γάμοι, μὴ νύμφια λέκτρα·
Would-that not-even had-been marriages not bridal beds
οὐ γὰρ ἂν ὠδίνων ἐξεφάνη πρόφασις.
not for — of-pangs would-have-appeared pretext
νῦν δ' ἡ μὲν τριτάλαινα γυνὴ τίκτουσα κάθηται,
now but the indeed thrice-wretched woman bearing sits
γαστρὶ δὲ δυσκόλπῳ νεκρὸν ἔνεστι τέκος·
in-belly and ill-bosomed dead is child
τρισσὴ δ' ἀμφιλύκη δρόμον ἤνυσεν, ἐξότε μίμνει
third and twilight course finished since remains
τὸ βρέφος ἀπρήκτοις ἐλπίσι τικτόμενον.
the babe in-vain in-hopes being-born
κούφη σοὶ τελέθει γαστήρ, τέκος, ἀντὶ κονίης·
light to-you is belly child instead-of dust
αὕτη γάρ σε φέρει, καὶ χθονὸς οὐ χατέεις.
this for you carries and of-earth not you-lack

584. ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ

584 of-Julian of-Egypt

Πλώεις ναυηγόν με λαβὼν καὶ σήματι χώσας;
You-sail shipwrecked me having-taken and with-tomb having-heaped
πλῶε, Μαλειάων ἄκρα φυλασσόμενος·
sail of-Malea headlands guarding-against
αἰεὶ δ' εὐπλοΐην μεθέποις φίλος· ἦν δέ τι ῥέξῃ
always and fair-voyage may-you-pursue friend if but anything does
ἄλλο Τύχη, τούτων ἀντιάσαις χαρίτων.
other Fortune of-these may-you-meet favors

585. ΤΟΥ ΑΥΤΟΥ

585 of-the same

Μύγδων τέρμα βίοιο λαχών, αὐτόστολος ἦλθεν
Mygdon end of-life having-got self-sailing came
εἰς ἀΐδην, νεκύων πορθμίδος οὐ χατέων.
to Hades of-the-dead ferry not lacking
ἣν γὰρ ἔχε ζώων βιοδώτορα, μάρτυρα μόχθων,
which for he-had living life-giving witness of-toils
ἄγραις εἰναλίαις πολλάκι βριθομένην,
with-hunts sea often laden
τήνδε καὶ ἐν θανάτῳ λάχε σύνδρομον, εὖτε τελευτὴν
this also in death got fellow-runner when end
εὕρετο συλλήξας ὁλκάδι καιομένῃ.
he-found having-ceased-together with-boat burning
οὕτω πιστὸν ἄνακτι πέλεν σκάφος, οἶκον ἀέξον
so faithful to-master was boat house increasing
Μύγδονι, καὶ σύμπλουν ἐς βίον, ἐς θάνατον.
for-Mygdon and fellow-voyager into life into death

586. ΤΟΥ ΑΥΤΟΥ

586 of-the same

Οὔτι σε πόντος ὄλεσσε καὶ οὐ πνείοντες ἀῆται,
Not-at-all you sea destroyed and not blowing winds
ἀλλ᾽ ἀκόρητος ἔρως φοιτάδος ἐμπορίης.
but insatiable love of-roving of-trade
εἴη μοι γαίης ὀλίγος βίος· ἐκ δὲ θαλάσσης
may-be for-me of-land small livelihood from and sea
ἄλλοισιν μελέτω κέρδος ἀελλομάχον.
to-others let-be-a-care gain storm-fighting

Εἰς Πάμφιλον φιλόσοφον

On Pamphilus philosopher

587. ΤΟΥ ΑΥΤΟΥ

587 of-the same

Χθών σε τέκεν, πόντος δὲ διώλεσε, δέκτο δὲ θῶκος
Earth you bore sea and destroyed received and seat
Πλουτῆος· κεῖθεν δ᾽ οὐρανὸν εἰσανέβης.
of-Pluto thence and heaven you-climbed
οὐχ ὡς ναυηγὸς δὲ βυθῷ θάνες, ἀλλ᾽ ἵνα πάντων
not as shipwrecked and in-the-deep you-died but that of-all
κλήροις ἀθανάτων, Πάμφιλε, κόσμον ἄγῃς.
by-lots of-immortals Pamphilus order you-may-lead

588. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ

588 of-Paul the-Silentiary

Δαμόχαρις Μοίρης πυμάτην ὑπεδύσατο σιγήν.
Damocharis of-Fate last went-under silence
φεῦ· τὸ καλὸν Μούσης βάρβιτον ἠρεμέει·
alas the fair of-Muse lyre is-quiet
ὤλετο Γραμματικῆς ἱερὴ βάσις. ἀμφιρύτη Κῶς,
perished of-Grammar holy base sea-girt Cos
καὶ πάλι πένθος ἔχεις οἷον ἐφ' Ἱπποκράτει.
also again grief you-have such-as for Hippocrates

589. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

589 of-Agathias Scholasticus

Μηδὲν ἀπαγγείλειας ἐς Ἀντιόχειαν, ὁδῖτα,
Nothing may-you-announce to Antioch wayfarer
μὴ πάλιν οἰμώξῃ χεύματα Κασταλίης,
lest again may-lament streams of-Castalia
οὕνεκεν ἐξαπίνης Εὐστόργιος ἔλλιπε μοῦσαν,
because suddenly Eustorgius left music
θεσμῶν τ' Αὐσονίων ἐλπίδα μαψιδέην,
of-laws and Ausonian hope vain
ἑβδόματον δέκατόν τε λαχὼν ἔτος· ἐς δὲ κονίην
seventh tenth and having-got year into and dust
ἠμείφθη κενεὴν εὔσταχυς ἡλικίη.
was-changed empty fair-eared age
καὶ τὸν μὲν κατέχει χθόνιος τάφος· ἀντὶ δ' ἐκείνου
and him indeed holds underground tomb instead and of-him
οὔνομα καὶ γραφίδων χρώματα δερκόμεθα.
name and of-pencils colors we-see

590. ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ

590 of-Julian of-Egypt

— Κλεινὸς Ἰωάννης. — Θνητός, λέγε. —
Famous John Mortal say
Γαμβρὸς ἀνάσσης.
Son-in-law of-queen
— Θνητὸς ὅμως. — Γενεῆς ἄνθος Ἀναστασίου.
Mortal nevertheless Of-family flower of-Anastasius
— Θνητοῦ κἀκείνου. — Βίον ἔνδικος. — Οὐκέτι τοῦτο
Of-mortal and-of-that-one Life just No-longer this
θνητὸν ἔφης· ἀρεταὶ κρείσσονές εἰσι μόρου.
mortal you-said virtues stronger are than-fate

591. ΤΟΥ ΑΥΤΟΥ

591 of-the same

Ὑπατίου τάφος εἰμί· νέκυν δ' οὔ φημι καλύπτειν
Of-Hypatius tomb I-am corpse but not I-say to-cover
τόσσου τόσσος ἐὼν Αὐσονίων προμάχου·
of-so-great so-great being of-Ausonian of-champion
γαῖα γὰρ αἰδομένη λιτῷ μέγαν ἀνέρα χῶσαι
earth for ashamed with-simple great man to-heap
σήματι, τῷ πόντῳ μᾶλλον ἔδωκεν ἔχειν.
with-tomb to-the sea rather gave to-hold

592. ΤΟΥ ΑΥΤΟΥ

592 of-the same

Αὐτὸς ἄναξ νεμέσησε πολυφλοίσβοισι θαλάσσης
Himself king was-indignant at-loud-roaring of-sea
κύμασιν, Ὑπατίου σῶμα καλυψαμένοις·
at-waves of-Hypatius body having-covered
ἤθελε γάρ μιν ἔχειν γέρας ὕστατον, οἷα θανόντα,
he-wished for him to-have honor last as having-died
καὶ μεγαλοφροσύνης κρύψε θάλασσα χάριν.
and of-magnanimity hid sea for-sake
ἔνθεν, πρηϋνόου κραδίης μέγα δεῖγμα, φαεινὸν
whence of-gentle-minded of-heart great proof shining
τίμησεν κενεῷ σήματι τῷδε νέκυν.
honored with-empty with-tomb this corpse

593. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

593 of-Agathias Scholasticus

Τὰν πάρος ἀνθήσασαν ἐν ἀγλαΐᾳ καὶ ἀοιδᾷ,
The before having-bloomed in splendor and song
τὰν πολυκυδίστου μνάμονα θεσμοσύνας,
the of-most-glorious mindful of-law
Εὐγενίαν κρύπτει χθονία κόνις· αἱ δ' ἐπὶ τύμβῳ
Eugenia hides underground dust they and on tomb
κείραντο πλοκάμους Μοῦσα, Θέμις, Παφίη.
sheared locks Muse Themis Paphian

594. ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ

594 of-Julian of-Egypt

Μνῆμα σόν, ὦ Θεόδωρε, πανατρεκές, οὐκ ἐπὶ τύμβῳ,
Memorial your O Theodorus most-true not on tomb
ἀλλ᾽ ἐνὶ βιβλιακῶν μυριάσιν σελίδων,
but in of-bookish myriads of-pages
αἷσιν ἀνεζώγρησας ἀπολλυμένων, ἀπὸ λήθης
with-which you-revived perishing from oblivion
ἁρπάξας, νοερῶν μόχθον ἀοιδοπόλων.
having-snatched of-intellectual toil of-singers

595. ΤΟΥ ΑΥΤΟΥ

595 of-the same

Κάτθανε μὲν Θεόδωρος· ἀοιδοπόλων δὲ παλαιῶν
Died indeed Theodorus of-singers and ancient
πληθὺς οἰχομένη νῦν θάνεν ἀτρεκέως.
multitude gone now died truly
πᾶσα γὰρ ἐμπνείοντι συνέπνεε, πᾶσα δ᾽ ἀπέσβη
all for with-breathing breathed-with all and was-quenched
σβεννυμένου· κρύφθη δ᾽ εἰν ἑνὶ πάντα τάφῳ.
being-quenched were-hidden and in one all tomb

596. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

596 of-Agathias Scholasticus

Ναὶ μὰ τὸν ἐν γαίῃ πύματον δρόμον, οὔτε μ' ἄκοιτις
Yes by the in earth last course neither me wife
ἔστυγεν, οὔτ' αὐτὸς Θεύδοτος Εὐγενίης
hated nor myself Theodotus of-Eugenia
ἐχθρὸς ἑκὼν γενόμην· ἀλλὰ φθόνος ἠέ τις ἄτη
enemy willingly I-became but envy or some ruin
ἡμέας ἐς τόσσην ἤγαγεν ἀμπλακίην.
us to so-great led fault
νῦν δ' ἐπὶ Μινῴην καθαρὴν κρηπῖδα μολόντες
now and to Minoan pure foundation having-come
ἀμφότεροι λευκὴν ψῆφον ἐδεξάμεθα.
both white vote received

597. ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ

597 of-Julian of-Egypt

Ἡ γλυκερὸν μέλψασα καὶ ἄλκιμον, ἡ θρόον αὐδῆς
The sweet having-sung and valiant the sound of-voice
μούνη θηλυτέρης στήθεσι ῥηξαμένη,
alone of-womanly from-breast having-broken-forth
κεῖται σιγαλέη· τόσον ἔσθενε νήματα Μοίρης,
lies silent so-much were-strong threads of-Fate
ὡς λιγυρὰ κλεῖσαι χείλεα Καλλιόπης.
as clear to-close lips of-Calliope

Fate silences the singer, and Cale is more beautiful in mind than in face. Anastasia dies at sixteen, within a year of her wedding, and Eustathius at fifteen. Julian's dialogue says Charon is not savage but kind, since he spared the young man the pains of marriage. Paul mourns a girl of twelve and an old man who died happy. Palladas mocks Psyllo, who spent all her money and then died, and a bride's wedding turns to twenty-five deaths. Menippe dies lamenting her son, Helen's suitors weep for her, Agathias mourns Joanna the lyre-singer, the tenth Muse, and Bishop Diogenes buries his nephew.

598. ΤΟΥ ΑΥΤΟΥ

598 of-the same

Οὔτε φύσις θήλεια, καὶ οὐ πολιοῖο καρήνου
Neither nature female and not of-gray of-head
ἀδρανίη φωνῆς σῆς κατέλυσε βίην·
feebleness of-voice your undid force
ἀλλὰ μόλις ξυνοῖσι νόμοις εἴξασα τελευτῆς,
but scarcely to-common to-laws having-yielded of-end
φεῦ, φεῦ, Καλλιόπη, σὴν κατέλυσας ὄπα.
alas alas Calliope your you-undid voice

599. ΤΟΥ ΑΥΤΟΥ

599 of-the same

Οὔνομα μὲν Κάλη, φρεσὶ δὲ πλέον ἠὲ προσώπῳ,
Name indeed Cale in-mind and more than in-face
κάτθανε· φεῦ, Χαρίτων ἐξαπόλωλεν ἔαρ.
died alas of-Graces has-perished spring

καὶ γὰρ ἔην Παφίῃ πανομοῖος, ἀλλὰ συνεύνῳ
and for she-was to-the-Paphian all-like but to-husband
μούνῳ· τοῖς δ' ἑτέροις Παλλὰς ἐρυμνοτάτη.
alone to-the but others Pallas most-guarded
τίς λίθος οὐκ ἐγόησεν, ὅτ' ἐξήρπαξεν ἐκείνην
what stone not wailed when snatched-away her
εὐρυβίης Ἀΐδης ἀνδρὸς ἀπ' ἀγκαλίδων;
wide-ruling Hades of-husband from arms

600. ΤΟΥ ΑΥΤΟΥ

600 of-the same

Ὥριος εἶχέ σε παστάς, ἀώριος εἶλέ σε τύμβος,
Timely had you bridal-chamber untimely took you tomb
εὐθαλέων Χαρίτων ἄνθος, Ἀναστασίη.
of-blooming of-Graces flower Anastasia
σοὶ γενέτης, σοὶ πικρὰ πόσις κατὰ δάκρυα λείβει,
for-you father for-you bitter husband down tears pours
σοὶ τάχα καὶ πορθμεὺς δακρυχέει νεκύων·
for-you perhaps even ferryman sheds-tears of-dead
οὐ γὰρ ὅλον λυκάβαντα διήνυσας ἄγχι συνεύνου,
not for whole year you-completed near husband
ἀλλ' ἐκκαιδεκέτιν, φεῦ, κατέχει σε τάφος.
but sixteen-years-old alas holds you tomb

601. ΤΟΥ ΑΥΤΟΥ

601 of-the same

Φεῦ, φεῦ, ἀμετρήτων χαρίτων ἔαρ ἡδὺ μαραίνει
Alas alas of-measureless of-graces spring sweet withers
ἀμφὶ σοὶ ὠμοφάγων χεῖμα τὸ νερτερίων.
around you of-raw-eating storm the of-underworld
καὶ σὲ μὲν ἥρπασε τύμβος ἀπ᾽ ἠελιώτιδος αἴγλης,
and you indeed snatched tomb from sunlit radiance
πέμπτον ἐφ᾽ ἑνδεκάτῳ πικρὸν ἄγουσαν ἔτος,
fifth on eleventh bitter leading year
σὸν δὲ πόσιν γενέτην τε κακαῖς ἀλάωσεν ἀνίαις,
your and husband father and with-evil blinded with-griefs
οἷς πλέον ἠελίου λάμπες, Ἀναστασίη.
to-whom more than-sun you-shone Anastasia

602. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

602 of-Agathias Scholasticus

Εὐστάθιε, γλυκερὸν μὲν ἔχεις τύπον· ἀλλά σε κηρὸν
Eustathius sweet indeed you-have image but you wax
δέρκομαι, οὐδ᾽ ἔτι σοι κεῖνο τὸ λαρὸν ἔπος
I-see nor still on-you that the pleasant word
ἕζεται ἐν στομάτεσσι· τεὴ δ᾽ εὐάνθεμος ἥβη,
sits in mouths your and flowery youth
αἰαῖ, μαψιδίη νῦν χθονός ἐστι κόνις.
alas vain now of-earth is dust
πέμπτου καὶ δεκάτου γὰρ ἐπιψαύσας ἐνιαυτοῦ
of-fifth and of-tenth for having-touched of-year
τετράκις ἓξ μούνους ἔδρακες ἠελίους·
four-times six only you-saw suns

οὐδὲ τεοῦ πάππου θρόνος ἤρκεσεν, οὐ γενετῆρος
nor your of-grandfather throne sufficed not of-father
ὄλβος. πᾶς δὲ τεὴν εἰκόνα δερκόμενος
wealth all and your image seeing
τὴν ἄδικον Μοῖραν καταμέμφεται, οὕνεκα τοίην,
the unjust Fate blames because such
ἆ μέγα νηλειής, ἔσβεσεν ἀγλαΐην.
ah greatly pitiless quenched splendor

603. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠΑΡΧΩΝ ΑΙΓΥΠΤΙΟΥ

603 of-Julian from the-Prefects of-Egypt

— Ἄγριός ἐστι Χάρων. — Πλέον ἤπιος. —
Savage is Charon More gentle
Ἥρπασεν ἤδη
He-snatched already
τὸν νέον. — Ἀλλὰ νόῳ τοῖς πολιοῖσιν ἴσον.
the young But in-mind to-the gray equal
— Τερπωλῆς δ' ἀπέπαυσεν. — Ἀπεστυφέλιξε δὲ μόχθων.
From-delight and he-stopped He-thrust-away and from-toils
— Οὐκ ἐνόησε γάμους. — Οὐδὲ γάμων ὀδύνας.
Not he-knew marriages Nor of-marriages pains

604. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ

604 of-Paul the-Silentiary

Λέκτρα σοι ἀντὶ γάμων ἐπιτύμβια, παρθένε κούρη,
Beds for-you instead-of marriages of-the-tomb maiden girl
ἐστόρεσαν παλάμαις πενθαλέαις γενέται.
spread with-hands with-grieving parents

καὶ σὺ μὲν ἀμπλακίας βιότου καὶ μόχθον Ἐλευθοῦς
and you indeed faults of-life and toil of-Eleutho
ἔκφυγες· οἱ δὲ γόων πικρὸν ἔχουσι νέφος.
escaped they and of-laments bitter have cloud
δωδεκέτιν γὰρ μοῖρα, Μακηδονίη, σε καλύπτει,
twelve-years-old for fate Macedonia you covers
κάλλεσιν ὁπλοτέρην, ἤθεσι γηραλέην.
in-beauty younger in-manners aged

605. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠΑΡΧΩΝ ΑΙΓΥΠΤΙΟΥ

605 of-Julian from the-Prefects of-Egypt

Σοὶ σορὸν εὐλάϊγγα, Ῥοδοῖ, καὶ τύμβον ἐγείρει,
For-you coffin fine-marbled Rhodo and tomb raises
ῥύσιά τε ψυχῆς δῶρα πένησι νέμει,
ransoms and of-soul gifts to-poor distributes
ἀντ᾽ εὐεργεσίης γλυκερὸς πόσις· ὅττι θανοῦσα
for kindness sweet husband because having-died
ὠκύμορος κείνῳ δῶκας ἐλευθερίην.
swift-fated to-him you-gave freedom

606. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ

606 of-Paul the-Silentiary

Πρηΰς, ἐλευθερίην ἐπιειμένος, ἡδὺς ἰδέσθαι,
Gentle freedom clothed sweet to-see
ἐν βιότῳ προλιπὼν υἱέα γηροκόμον,
in life having-left son old-age-tending

τύμβον ἔχει Θεόδωρος ἐπ᾽ ἐλπίδι κρέσσονι μοίρης,
tomb holds Theodorus in hope better than-fate
ὄλβιος ἐν καμάτοις, ὄλβιος ἐν θανάτῳ.
blessed in toils blessed in death

607. ΠΑΛΛΑΔΑ ΑΛΕΞΑΝΔΡΕΩΣ

607 of-Palladas of-Alexandria

Ψυλλὼ πρεσβυγενὴς τοῖς κληρονόμοις φθονέσασα,
Psyllo old to-the heirs having-grudged
αὐτὴ κληρονόμος τῶν ἰδίων γέγονεν·
herself heir of-the her-own became
ἁλλομένη δὲ τάχος κατέβη δόμον εἰς Ἀΐδαο,
leaping and swiftly went-down house to of-Hades
ταῖς δαπάναις τὸ ζῆν σύμμετρον εὑρομένη.
to-the expenses the to-live commensurate having-found
πάντα φαγοῦσα βίον συναπώλετο ταῖς δαπάναισιν·
all having-eaten livelihood perished-together with-the expenses
ἥλατο δ᾽ εἰς ἀΐδην, ὡς ἀπεκερμάτισεν.
leaped and to Hades when she-had-spent-the-small-change

608. ΕΥΤΟΛΜΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ ΙΛΛΟΥΣΤΡΙΟΥ

608 of-Eutolmius Scholasticus Illustris

Υἱέος ὠκυμόρου θάνατον πενθοῦσα Μενίππη
Of-son of-swift-fated death mourning Menippe
κωκυτῷ μεγάλῳ πνεῦμα συνεξέχεεν,
with-wailing with-great breath poured-out-together

οὐδ᾽ ἔσχεν παλίνορσον ἀναπνεύσασα γοῆσαι·
nor had again having-breathed-again to-lament
ἀλλ᾽ ἅμα καὶ θρήνου παύσατο καὶ βιότου.
but together both from-dirge ceased and from-life

609. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ

609 of-Paul the-Silentiary

Ἀττικὸς ἐς ξυνήν με παναγρέος ἐλπίδα μοίρης
Atticus to common me of-all-catching hope of-fate
θυμῷ θαρσαλέῳ ζῶν ἐλάχηνε τάφον,
with-spirit with-bold living dug tomb
παίζων ἐξ ἀρετῆς θανάτου φόβον. ἀλλ᾽ ἐπὶ δηρὸν
mocking from virtue of-death fear but for long
ἠέλιος σοφίης μιμνέτω ἠελίῳ.
sun of-wisdom let-remain in-sun

610. ΠΑΛΛΑΔΑ ΑΛΕΞΑΝΔΡΙΟΥ

610 of-Palladas of-Alexandria

Ἥρπασέ τις νύμφην, καὶ τὸν γάμον ἥρπασε δαίμων,
Snatched someone bride and the marriage snatched god
ψυχῶν συλήσας τερπομένην ἀγέλην.
of-souls having-robbed delighting flock
εἷς γάμος εἰκοσιπέντε τάφους ἔπλησε θανόντων.
one marriage twenty-five tombs filled of-dead
πάνδημος δὲ νεκρῶν εἷς γέγονεν θάλαμος.
common and of-corpses one became chamber

νύμφη Πενθεσίλεια πολύστονε, νυμφίε Πενθεῦ,
bride Penthesilea much-groaning bridegroom Pentheus
ἀμφοτέρων ὁ γάμος πλούσιος ἐν θανάτοις.
of-both the marriage rich in deaths

611. ΕΥΤΟΛΜΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ ΙΛΛΟΥΣΤΡΙΟΥ

611 of-Eutolmius Scholasticus Illustris

Παρθενικὴν Ἑλένην μετ' ἀδελφεὸν ἄρτι θανόντα
Maiden Helen after brother just having-died
δειλαίη μήτηρ κόψατο διπλασίως.
wretched mother beat-her-breast doubly
μνηστῆρες δ' ἐγόησαν ἴσον γόον· ἦν γὰρ ἑκάστῳ
suitors and wailed equal wailing it-was for for-each
θρηνεῖν τὴν μήπω μηδενὸς ὡς ἰδίην.
to-lament the not-yet of-anyone as his-own

612. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

612 of-Agathias Scholasticus

Φεῦ, φεῦ, τὴν δεκάτην Ἑλικωνίδα, τὴν λυραοιδὸν
Alas alas the tenth Heliconian the lyre-singer
Ῥώμης καὶ Φαρίης, ἥδε κέκευθε κόνις.
of-Rome and of-Pharos this has-hidden dust
ὤλετο φορμίγγων τερετίσματα, λῆξαν ἀοιδαί,
perished of-lyres twangings ceased songs
ὥσπερ Ἰωάννῃ πάντα συνολλύμενα.
as-if with-Joanna all perishing-together

καὶ τάχα θεσμὸν ἔθηκαν ἐπάξιον ἐννέα Μοῦσαι,
and perhaps law made worthy nine Muses
τύμβον Ἰωάννης ἀνθ' Ἑλικῶνος ἔχειν.
tomb of-Joanna instead-of Helicon to-have

Ἐπὶ Διογένει ἀδελφόπαιδι
On Diogenes nephew

613. ΔΙΟΓΕΝΟΥΣ ΕΠΙΣΚΟΠΟΥ ΑΜΙΣΟΥ

613 of-Diogenes the-Bishop of-Amisus

Σοὶ τόδε, Διόγενες, θαλερῆς μνημήϊον ἥβης
For-you this Diogenes of-blooming memorial of-youth
Πόντῳ ἐν Εὐξείνῳ θήκατο Φρὺξ γενέτης,
Pontus in Euxine set Phrygian father
φεῦ, πάτρης ἑκὰς ὅσσον. ἄγεν δέ σε νεῦμα θεοῖο,
alas from-fatherland far how-far led but you nod of-god
πατρὸς ἀδελφειῷ πένθος ὀφειλόμενον,
of-father to-brother grief owed
ὅς σε περιστείλας ἱερῇ παλάμῃ τε καὶ εὐχῇ
who you having-wrapped with-holy with-hand both and with-prayer
γείτονα τῆς μακάρων θῆκε χοροστασίης.
neighbor of-the of-blessed placed of-dancing-place

Agathias tells the story of the two Lesbian women whose husbands Paches killed, and who sailed to Athens and denounced him until he died. Musaeus, Linus, Orpheus, Cleobulus, and Periander lie in their cities, and Periander died of despair. Sophocles dies laughing from Sardinian celery. Borchus the herdsman falls from a cliff while gathering honey. A child sucks from its dead mother, the Ionian Sea is cursed for drowning Aegeus and Labeo, a drunk sailor drowns in harbor, and the young Caesar clears Libya of lions. Hipparchus dies before marriage, Crinagoras would have the Oxeiae renamed Erotides for a boy to whom Love gave his name and form, and Socrates' grave is a reproach to Athens.

614. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

614 of-Agathias Scholasticus

Ἑλλανὶς τριμάκαιρα καὶ ἁ χαρίεσσα Λάμαξις
Hellanis thrice-blessed and the graceful Lamaxis
ἦστην μὲν πάτρας φέγγεα Λεσβιάδος·
were indeed of-fatherland lights of-Lesbian
ὅκκα δ' Ἀθηναίῃσι σὺν ὁλκάσιν ἐνθάδε κέλσας
when and Athenian with merchant-ships here having-put-in
τὰν Μυτιληναίων γᾶν ἀλάπαξε Πάχης,
the of-Mitylenaeans land sacked Paches
τᾶν κουρᾶν ἀδίκως ἠράσσατο, τὼς δὲ συνεύνως
of-the of-girls unjustly fell-in-love the and husbands
ἔκτανεν, ὡς τήνας τῇδε βιησόμενος.
killed that them here he-might-force
ταὶ δὲ κατ' Αἰγαίοιο ῥόου πλατὺ λαῖτμα φερέσθην,
they and over of-Aegean of-stream broad gulf were-borne
καὶ ποτὶ τὰν κραναὰν Μοψοπίαν δραμέτην·
and to the rocky Mopsopia ran

δάμῳ δ' ἀγγελέτην ἀλιτήμονος ἔργα Πάχητος,
to-people and announced of-sinful deeds of-Paches
μέσφα μιν εἰς ὀλοὴν κῆρα συνηλασάτην.
until him into deadly doom they-drove-together
τοῖα μέν, ὦ κούρα, πεπονήκατον· ἆψ δ' ἐπὶ πάτραν
such indeed O girls you-two-have-toiled back and to fatherland
ἤκετον, ἐν δ' αὐτᾷ κεῖσθον ἀποφθιμένα·
you-two-came in and it you-two-lie having-perished
εὖ δὲ πόνων ἀπόνασθον, ἐπεὶ ποτὶ σᾶμα συνεύνων
well and of-toils you-two-reaped-profit since by tomb of-husbands
εὕδετον, ἐς κλεινᾶς μνᾶμα σαοφροσύνας·
you-two-sleep to of-famous memorial of-chastity
ὑμνεῦσιν δ' ἔτι πάντες ὁμόφρονας ἡρωίνας,
sing and still all like-minded heroines
πάτρας καὶ ποσίων πήματα τισαμένας.
of-fatherland and of-husbands woes having-avenged

615. ΑΔΕΣΠΟΤΟΝ

615 anonymous

Εὐμόλπου φίλον υἱὸν ἔχει τὸ Φαληρικὸν οὖδας
Of-Eumolpus dear son holds the Phaleric ground
Μουσαῖον, φθίμενον σῶμ' ὑπὸ τῷδε τάφῳ.
Musaeus having-perished body under this tomb

616. ΑΛΛΟ

616 another

Ὧδε Λίνον Θηβαῖον ἐδέξατο γαῖα θανόντα,
Here Linus Theban received earth having-died
Μούσης Οὐρανίης υἱὸν ἐυστεφάνου.
of-Muse of-Urania son of-fair-garlanded

617. ΑΛΛΟ

617 another

Θρήϊκα χρυσολύρην τῇδ' Ὀρφέα Μοῦσαι ἔθαψαν,
Thracian golden-lyred here Orpheus Muses buried
ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει.
whom killed high-ruling Zeus with-smoky with-bolt

618. ΑΛΛΟ

618 another

Ἄνδρα σοφὸν Κλεόβουλον ἀποφθίμενον καταπενθεῖ
Man wise Cleobulus having-perished mourns
ἥδε πάτρα Λίνδος πόντῳ ἀγαλλομένη.
this fatherland Lindus in-sea glorying

619. ΑΛΛΟ

619 another

Πλούτου καὶ σοφίης πρύτανιν πατρὶς ἥδε Κόρινθος
Of-wealth and of-wisdom president fatherland this Corinth
κόλποις ἀγχίαλος γῆ Περίανδρον ἔχει.
in-bosom near-the-sea land Periander holds

620. ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ

620 of-Diogenes Laertius

Μήποτε λυπήσῃ σε τὸ μή σε τυχεῖν τινος, ἀλλὰ
Never let-grieve you the not you to-get something but
τέρπεο πᾶσιν ὁμῶς οἷσι δίδωσι θεός·
delight in-all alike which gives god
καὶ γὰρ ἀθυμήσας ὁ σοφὸς Περίανδρος ἀπέσβη,
and for having-despaired the wise Periander was-quenched
οὕνεκεν οὐκ ἔτυχεν πρήξιος ἧς ἔθελεν.
because not he-got of-deed which he-wished

621. ΑΔΕΣΠΟΤΟΝ

621 anonymous

Ἐνθάδ' ἐγὼ Σοφοκλῆς στυγερὸν δόμον Ἄϊδος ἔσβην
Here I Sophocles hateful house of-Hades entered
κάμμορος, εἴδατι Σαρδῴῳ σελίνοιο γελάσκων.
ill-fated with-food Sardinian of-celery laughing
ὣς μὲν ἐγών, ἕτεροι δ' ἄλλως· πάντες δέ τε πάντως.
so indeed I others and otherwise all and and in-every-way

622. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ

622 of-Antiphilus of-Byzantium

Βόρχος ὁ βουποίμην ὅτ' ἐπὶ γλυκὺ κηρίον εἶρπεν,
Borchus the herdsman when to sweet honeycomb crept
αἰγίλιπα σχοίνῳ πέτρον ἐπερχόμενος,
steep by-rope rock approaching

εἵπετό οἱ σκυλάκων τις ὁ καὶ βοσίν, ὃς φάγε λεπτὴν
followed him of-dogs one the and with-cattle who ate thin
σχοῖνον ἀνελκομένῳ χραινομένην μέλιτι·
rope for-him-hauling-up stained with-honey
κάππεσε δ' εἰς Ἀΐδαο· τὸ δ' ἀτρυγὲς ἀνδράσιν ἄλλοις
fell and to of-Hades the and unharvested for-men other
κεῖνο μέλι ψυχῆς ὤνιον εἰρύσατο.
that honey of-life purchased kept

623. ΑΙΜΙΛΙΑΝΟΥ

623 of-Aemilianus

Ἔλκε, τάλαν, παρὰ μητρὸς ὃν οὐκέτι μαστὸν ἀμέλξεις,
Suck wretch from mother which no-longer breast you-will-milk
ἕλκυσον ὑστάτιον ναῦμα καταφθιμένης·
suck last stream having-perished
ἤδη γὰρ ξιφέεσσι λιπόπνοος· ἀλλὰ τὰ μητρὸς
already for by-swords breathless but the of-mother
φίλτρα καὶ εἰν ἀΐδῃ παιδοκομεῖν ἔμαθεν.
love even in Hades to-nurse-children learned

624. ΔΙΟΔΩΡΟΥ

624 of-Diodorus

Ἔρροις, Ἰονίοιο πολυπτοίητε θάλασσα,
Begone of-Ionian much-terrifying sea
νηλής, Ἀΐδεω πορθμὲ κελαινοτάτου,
pitiless of-Hades ferry of-darkest

ἦ τόσσους κατέδεξο. τίς ἂν τεά, κάμμορε, λέξαι
who so-many you-received who — your ill-fated would-tell
αἴσυλα, δυστήνων αἶσαν ὀπιζόμενος;
wickednesses of-wretched fate regarding
Αἰγέα καὶ Λαβέωνα σὺν ὠκυμόροισιν ἑταίροις
Aegeus and Labeo with swift-fated comrades
νηΐ τε σὺν πάσῃ βρύξας ἁλιρροθίῃ.
ship and with all having-swallowed sea-roaring

625. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

625 of-Antipater of-Sidon

Εἰδότα κἠπ᾽ Ἄτλαντα τεμεῖν πόρον, εἰδότα Κρήτης
Knowing even-to Atlas to-cut passage knowing of-Crete
κύματα καὶ πόντου ναυτιλίην μέλανος,
waves and of-sea seafaring of-black
Καλλιγένευς Διόδωρον Ὀλύνθιον ἴσθι θανόντα
of-Calligenes Diodorus Olynthian know having-died
ἐν λιμένι, πρῴρης νύκτερον ἐκχύμενον,
in harbor from-prow at-night poured-out
δαιτὸς ἐκεῖ τὸ περισσὸν ὅτ᾽ ἤμεεν. ἆ πόσον ὕδωρ
of-feast there the excess when he-vomited ah how-much water
ὤλεσε τὸν τόσσῳ κεκριμένον πελάγει.
destroyed the by-so-great tested sea

626. ΑΔΕΣΠΟΤΟΝ

626 anonymous

Ἔσχατιαὶ Λιβύων Νασαμωνίδες, οὐκέτι θηρῶν
Farthest-parts of-Libyans Nasamonian no-longer of-beasts
ἔθνεσιν ἠπείρου νῶτα βαρυνόμεναι,
by-tribes of-mainland backs weighed-down
ἠχοῖ ἐρημαίαισιν ἐπηπύσεσθε λεόντων
with-echo with-lonely you-will-resound of-lions
ὠρυγαῖς ψαμάθους ἄχρις ὑπὲρ Νομάδων,
with-roarings sands up-to beyond Nomads
φῦλον ἐπεὶ νήριθμον ἐν ἰχνοπέδαισιν ἀγρευθὲν
tribe since countless in hunting-snares caught
ἐς μίαν αἰχμηταῖς Καῖσαρ ἔθηκεν ὁ παῖς·
to one to-spearmen Caesar set the boy
αἱ δὲ πρὶν ἀγραύλων ἐγκοιτάδες ἀκρώρειαι
the and before of-field-dwelling lairs mountain-ridges
θηρῶν, νῦν ἀνδρῶν εἰσὶ βοηλασίαι.
of-beasts now of-men are cattle-drivings

627. ΔΙΟΔΩΡΟΥ

627 of-Diodorus

Ἡμιτελῆ θάλαμόν τε καὶ ἐγγύθι νυμφικὰ λέκτρα,
Half-finished chamber both and near bridal beds
κοῦρε, λιπὼν ὀλοὴν οἶμον ἔβης Ἀΐδου·
youth having-left deadly road you-went of-Hades
Θύνιον Ἀστακίην δὲ μάλ' ἤκαχες, ἥ σε μάλιστα
Thynian Astacia and greatly you-grieved who you most
οἰκτρὰ τὸν ἡβητὴν κώκυεν ἠΐθεον,
piteously the youthful wailed youth

Ἱππάρχου κλαίουσα κακὸν μόρον, εἴκοσι ποίας
of-Hipparchus weeping evil doom twenty summers
μοῦνον ἐπεὶ βιότου πλήσαο καὶ πίσυρας.
only since of-life you-filled and four

628. ΚΡΙΝΑΓΟΡΟΥ

628 of-Crinagoras

Ἠρνήσαντο καὶ ἄλλαι ἑὸν πάρος οὔνομα νῆσοι
Have-denied also other their-own former name islands
ἀκλεές, ἐς δ' ἀνδρῶν ἦλθον ὁμωνυμίην·
inglorious into and of-men came same-naming
κληθείητε καὶ ὔμμες Ἐρωτίδες· οὐ νέμεσίς τοι,
may-you-be-called also you Erotides not reproach to-you
Ὀξεῖαι, ταύτην κλῆσιν ἀμειψαμέναις.
Oxeiae this name having-exchanged
παιδὶ γάρ, ὃν τύμβῳ Δίης ὑπεθήκατο βώλου,
to-boy for whom in-tomb Dies laid-under clod
οὔνομα καὶ μορφὴν αὐτὸς ἔδωκεν Ἔρως.
name and form himself gave Love
ὦ χθὼν σηματόεσσα, καὶ ἡ παρὰ θινὶ θάλασσα,
O earth tomb-marked and the by shore sea
παιδὶ σὺ μὲν κούφη κεῖσο, σὺ δ' ἡσυχίη.
to-boy you indeed light lie you and quiet

629. ΑΝΤΙΠΑΤΡΟΥ

629 of-Antipater

῾Η χθαμαλὴν ὑπέδυς ὁ τόσος κόνιν;
Truly low you-went-under the so-great dust
εἰς σέ τις ἀθρῶν,
on you someone looking
Σώκρατες, Ἑλλήνων μέμψεται ἀκρισίην·
Socrates of-Greeks will-blame lack-of-judgment
νηλέες, οἳ τὸν ἄριστον ἀπώλεσαν, οὐδὲ ἓν αἰδοῖ
pitiless who the best destroyed not-even one to-shame
δόντες. τοιοῦτοι πολλάκι Κεκροπίδαι.
having-given such often Cecropids

A man near home says tomorrow the foul weather will abate, and drowns before his lips have closed on the word. Diphilus drowns off Andros, a child falls from a ladder, and graceful Selene dies, so that the moon her namesake darkens. Old Philo, carrying a bier for a day's wage, dies of a small slip and so bears it for himself, a fisherman's boat buries him, and Crinagoras wishes he had been a shepherd. Pyrrhus is struck by lightning at sea, a mother whose two sons' fates were exchanged mourns, and all the sea is sea. Pyron's ship is taken by pirates in a calm, a public water-clock tells the hours even when clouds hide the sun, and Hymnis dies at nine.

630. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ

630 of-Antiphilus of-Byzantium

Ἤδη που πάτρης πελάσας σχεδόν, "Αὔριον," εἶπον,
Already I-suppose to-fatherland having-come-near close Tomorrow I-said
"ἡ μακρὴ κατ᾽ ἐμοῦ δυσπλοΐη κοπάσει."
the long against me foul-weather will-abate
οὔπω χεῖλος ἔμυσε, καὶ ἦν ἴσος Ἅϊδι πόντος,
not-yet lip closed and was equal to-Hades sea
καί με κατέτρυχεν κεῖνο τὸ κοῦφον ἔπος.
and me wore-down that the light word
πάντα λόγον πεφύλαξο τὸν αὔριον· οὐδὲ τὰ μικρὰ
every word guard-against the tomorrow not-even the small-things
λήθει τὴν γλώσσης ἀντίπαλον Νέμεσιν.
escapes the of-tongue antagonist Nemesis

631. ΑΠΟΛΛΩΝΙΔΟΥ

631 of-Apollonides

Ἦν ἄρα Μιλήτου Φοιβήϊον ὅρμον ἵκησθε,
If then of-Miletus Phoebean anchorage you-reach
λέξατε Διογένει πένθιμον ἀγγελίην,
tell to-Diogenes mournful news
παῖς ὅτι οἱ ναυηγὸς ὑπὸ χθονὶ κεύθεται Ἄνδρου
son that his shipwrecked under earth is-hidden of-Andros
Δίφιλος, Αἰγαίου κῦμα πιὼν πελάγευς.
Diphilus of-Aegean wave having-drunk of-sea

632. ΔΙΟΔΩΡΟΥ

632 of-Diodorus

Κλίμακος ἐξ ὀλίγης ὀλίγον βρέφος ἐν Διοδώρου
Ladder from small small babe in of-Diodorus
κάππεσεν, ἐκ δ' ἐάγη καίριον ἀστράγαλον,
fell out and was-broken vital vertebra
δινηθεὶς προκάρηνος. ἐπεὶ δ' ἴδε θεῖον ἄνακτα
having-whirled headlong when and he-saw divine master
ἀντόμενον, παιδνὰς αὐτίκ' ἔτεινε χέρας.
coming-to-meet childish at-once stretched hands
ἀλλὰ σὺ νηπιάχου δμωός, κόνι, μήποτε βρίθειν
but you of-infant of-slave dust never to-weigh-down
ὀστέα, τοῦ διετοῦς φειδομένη Κόρακος.
bones of-the two-year-old sparing Corax

633. ΚΡΙΝΑΓΟΡΟΥ

633 of-Crinagoras

Καὶ αὐτὴ ἤχλυσεν ἀκρέσπερος ἀντέλλουσα
Even herself was-dimmed at-evening rising
μήνη, πένθος ἑὸν νυκτὶ καλυψαμένη,
moon grief her-own with-night having-covered
οὕνεκα τὴν χαρίεσσαν ὁμώνυμον εἶδε Σελήνην
because the graceful namesake she-saw Selene
ἄπνουν εἰς ζοφερὸν δυομένην ἀΐδην.
breathless into gloomy going-down Hades
κείνῃ γὰρ καὶ κάλλος ἑοῦ κοινώσατο φωτός,
with-her for even beauty of-her-own shared of-light
καὶ θάνατον κείνης μίξεν ἑῷ κνέφεϊ.
and death of-her mixed with-her-own darkness

634. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ

634 of-Antiphilus of-Byzantium

Νεκροδόκον κλιντῆρα Φίλων ὁ πρέσβυς ἀείρων
Corpse-receiving bier Philo the old-man lifting
ἐγκλιδόν, ὄφρα λάβοι μισθὸν ἐφημέριον,
bent that he-might-get wage daily
σφάλματος ἐξ ὀλίγοιο πεσὼν θάνεν· ἦν γὰρ ἕτοιμος
slip from small having-fallen died he-was for ready
εἰς ἀΐδην, ἐκάλει δ' ἡ πολιὴ πρόφασιν·
to Hades called and the gray pretext
ὃν δ' ἄλλοις ἐφόρει νεκυοστόλον, αὐτὸς ἐφ' αὑτῷ
which and for-others he-carried corpse-carrying himself for himself
ἀσκάντην ὁ γέρων ἀχθοφορῶν ἔλαθεν.
pallet the old-man bearing-burden escaped-notice

635. ΤΟΥ ΑΥΤΟΥ

635 of-the same

Ναῦν Ἱεροκλείδης ἔσχεν σύγγηρον, ὁμόπλουν,
Ship Hierocleides had aging-with-him fellow-voyager
τὴν αὐτὴν ζωῆς καὶ θανάτου σύνοδον,
the same of-life and of-death companion
πιστὴν ἰχθυβολεῦντι συνέμπορον. οὔτις ἐκείνης
faithful to-fishing fellow-traveler no-one than-her
πώποτ' ἐπέπλωσεν κῦμα δικαιοτέρη·
ever sailed wave more-just
γήραος ἄχρις ἔβοσκε πονευμένη· εἶτα θανόντα
of-old-age up-to she-fed laboring then having-died
ἐκτέρισεν· συνέπλω δ' ἄχρι καὶ Ἀΐδεω.
buried sailed-together and up-to even of-Hades

636. ΚΡΙΝΑΓΟΡΟΥ

636 of-Crinagoras

Ποιμὴν ὦ μάκαρ, εἴθε κατ' οὔρεος ἐπροβάτευον
Shepherd O blessed would-that on mountain I-tended-flocks
κἠγώ, ποιηρὸν τοῦτ' ἀνὰ λευκόλοφον,
and-I grassy this on white-crested
κριοῖς ἀγητῆρσι ποτ' ἐβληχημένα βάζων,
to-rams to-leaders sometimes bleating-things speaking
ἢ πικρῇ βάψαι νήοχα πηδάλια
than in-bitter to-dip ship-holding rudders
ἅλμῃ. τοιγὰρ ἔδυν ὑποβένθιος· ἀμφὶ δὲ ταύτην
in-brine therefore I-sank beneath-the-depth around and this
θῖνά με ῥοιβδήσας Εὖρος ἐφωρμίσατο.
shore me having-whirled East-Wind brought-to-anchor

637. ΑΝΤΙΠΑΤΡΟΥ

637 of-Antipater

Πύρρος ὁ μουνερέτης ὀλίγῃ νηΐ λεπτὰ ματεύων
Pyrrhus the single-oarsman in-small ship slight seeking
φυκία καὶ τριχίνης μαινίδας ἐκ καθέτης,
seaweeds and hair sprats from plumb-line
ἠϊόνων ἀποτῆλε τυπεὶς κατέδουπε κεραυνῷ·
from-shores far-off struck fell-crashing by-thunderbolt
νηῦς δὲ πρὸς αἰγιαλοὺς ἔδραμεν αὐτομάτη
ship and to shores ran of-its-own-accord
ἀγγελίην θείῳ καὶ λιγνύϊ μηνύουσα,
news by-sulfur and by-smoke showing
καὶ φράσαι Ἀργῴην οὐκ ἐπόθησε τρόπιν.
and to-tell Argo not longed-for keel

638. ΚΡΙΝΑΓΟΡΟΥ

638 of-Crinagoras

Παίδων ἀλλαχθέντι μόρῳ ἔπι τοῦτ' ἐλεεινὴ
Of-children by-exchanged by-doom over this pitiable
μήτηρ ἀμφοτέρους εἶπε περισχομένη·
mother both said embracing
"Καὶ νέκυν οὐ σέο, τέκνον, ἐπ' ἤματι τῷδε γοήσειν
And corpse not of-you child on day this to-lament
ἤλπισα, καὶ ζωοῖς οὐ σὲ μετεσσόμενον
I-expected and among-living not you being-to-be
ὄψεσθαι· νῦν δ' οἱ μὲν ἐς ὑμέας ἠμείφθησαν
to-see now and they indeed toward you were-changed
δαίμονες, ἄψευστον δ' ἵκετο πένθος ἐμοί."
gods unfailing and came grief to-me

639. ΑΝΤΙΠΑΤΡΟΥ

639 of-Antipater

Πᾶσα θάλασσα θάλασσα· τί Κυκλάδας ἢ στενὸν Ἕλλης
All sea sea why Cyclades or narrow of-Helle
κῦμα καὶ Ὀξείας ἠλεὰ μεμφόμεθα;
wave and Oxeiae vainly we-blame
ἄλλως τοὔνομ᾽ ἔχουσιν· ἐπεὶ τί με, τὸν προφυγόντα
in-vain the-name they-have since why me the having-escaped
κεῖνα, Σκαρφαιεὺς ἀμφεκάλυψε λιμήν;
those Scarphean covered-over harbor
νόστιμον εὐπλοΐην ἀρῷτό τις· ὡς τά γε πόντου
homeward fair-voyage may-pray someone as the indeed of-sea
πόντος, ὁ τυμβευθεὶς οἶδεν Ἀρισταγόρης.
sea the buried knows Aristagoras

640. ΤΟΥ ΑΥΤΟΥ

640 of-the same

Ῥιγηλὴ ναύταις ἐρίφων δύσις, ἀλλὰ Πύρωνι
Shuddering for-sailors of-kids setting but for-Pyron
πουλὺ γαληναίη χείματος ἐχθροτέρη·
much calm than-storm more-hateful
νῆα γὰρ ἀπνοΐῃ πεπεδημένου ἔφθασε ναύταις
ship for by-windlessness fettered overtook with-sailors
ληϊστέων ταχινὴ δίκροτος ἐσσυμένη·
of-pirates swift double-banked rushing
χεῖμα δέ μιν προφυγόντα γαληναίῳ ἐπ᾽ ὀλέθρῳ
storm and him having-escaped calm in ruin
ἔκτανον· ἆ λυγρῆς δειλὲ καχορμισίης.
killed ah of-baneful wretch of-ill-anchorage

641. ΑΝΤΙΦΙΛΟΥ

641 of-Antiphilus

Σῆμα δυωδεκάμοιρον ἀφεγγέος ἠελίοιο,
Sign twelve-parted of-lightless of-sun
τοσσάκις ἀγλώσσῳ φθεγγόμενον στόματι,
so-often with-tongueless sounding with-mouth
εὖτ᾽ ἂν θλιβομένοιο ποτὶ στενὸν ὕδατος ἀὴρ
when — of-pressed into narrow of-water air
αὐλὸν ἀποστείλῃ πνεῦμα διωλύγιον,
pipe sends breath loud
θῆκεν Ἀθήναιος δήμῳ χάριν, ὡς ἂν ἐναργὴς
set Athenaeus for-people favor that — clear
εἴη κἢν φθονεραῖς ἠέλιος νεφέλαις.
may-be even-in envious sun clouds

642. ΑΠΟΛΛΩΝΙΔΟΥ

642 of-Apollonides

Σύρου καὶ Δήλοιο κλύδων μέσος υἷα Μενοίτην
Of-Syros and of-Delos surge between son Menoetes
σὺν φόρτῳ Σαμίου κρύψε Διαφανέος,
with cargo of-Samian hid of-Diaphanes
εἰς ὅσιον σπεύδοντα πλόου τάχος· ἀλλὰ θάλασσα
to holy hastening of-voyage speed but sea
ἐχθρὴ καὶ νούσῳ πατρὸς ἐπειγομένοις.
hostile even by-disease of-father to-hurrying

643. ΚΡΙΝΑΓΟΡΟΥ

643 of-Crinagoras

Ὑμνίδα τὴν Εὐάνδρου, ἐράσμιον αἰὲν ἄθυρμα
Hymnis the of-Evander lovely always plaything
οἰκογενές, κούρην αἱμύλον εἰναέτιν,
house-born girl winning nine-years-old
ἥρπασας, ὦ ἄλλιστ᾽ Ἀΐδη, τί πρόωρον ἐφιεὶς
you-snatched O implacable Hades why untimely sending
μοῖραν τῇ πάντως σεῖό ποτ᾽ ἐσσομένῃ;
fate to-her wholly yours once being-to-be

644. ΒΙΑΝΟΡΟΣ ΓΡΑΜΜΑΤΙΚΟΥ

644 of-Bianor the-Grammarian

Ὕστατον ἐθρήνησε τὸν ὠκύμορον Κλεαρίστη
Last lamented the swift-fated Clearista
παῖδα, καὶ ἀμφὶ τάφῳ πικρὸν ἔπαυσε βίον·
son and around tomb bitter ended life
κωκύσασα γὰρ ὅσσον ἐχάνδανε μητρὸς ἀνίη,
having-wailed for as-much-as held of-mother grief
οὐκέτ᾽ ἐπιστρέψαι πνεύματος ἔσχε τόνους.
no-longer to-turn-back of-breath had tones
θηλύτεραι, τί τοσοῦτον ἐμετρήσασθε τάλαιναι
women why so-much you-measured wretched
θρῆνον, ἵνα κλαύσητ᾽ ἄχρι καὶ Ἀΐδεω;
dirge that you-may-weep up-to even of-Hades

Philostratus' wealth is gone and he will lie at Ostracine, and Erato and Gorgo die in their parents' arms. Leonidas' Aristocrates bids men marry and have children, though he hated women himself. A mother sets up a statue for her daughter, and Phalaecus bids men flee the sea for the plow. Polymedes' bones lie washed by the sea at Doliche and his tomb is empty, so is Teleutagoras', and the Cretans are pirates. Alcander asks for a little dust, Alcimenes asks to be greeted at his small grave, and Clitagoras asks the shepherds for milk on his grave. Eurymedon's tomb will show whether the passer honors the good.

645. ΚΡΙΝΑΓΟΡΟΥ

645 of-Crinagoras

Ὦ δύστην' ὄλβοιο Φιλόστρατε, ποῦ σοι ἐκεῖνα
O wretched in-wealth Philostratus where for-you those
σκῆπτρα καὶ αἱ βασιλέων ἄφθονοι ἐντυχίαι,
scepters and the of-kings abundant audiences
αἷσιν ἐπηώρησας ἀεὶ βίον; ἦ ἐπὶ Νείλῳ
on-which you-hung always life truly by Nile
… δαίοις ὢν περίοπτος ὅροις;
(lacuna) to-hostile being conspicuous to-borders
ὀθνεῖοι καμάτους τοὺς σοὺς διεμοιρήσαντο,
foreigners toils the your divided
σὸς δὲ νέκυς ψαφαρῇ κείσετ' ἐν Ὀστρακίνῃ.
your and corpse sandy will-lie in Ostracine

646. ΑΝΥΤΗΣ ΜΕΛΟΠΟΙΟΥ

646 of-Anyte the-lyric-poet

Λοίσθια δὴ τάδε πατρὶ φίλῳ περὶ χεῖρε βαλοῦσα
Last indeed these to-father dear around hands having-thrown
εἶπ᾽ Ἐρατώ, χλωροῖς δάκρυσι λειβομένα·
said Erato with-pale with-tears streaming
“ Ὦ πάτερ, οὔ τοι ἔτ᾽ εἰμί,
O father not you-know still I-am
μέλας δ᾽ ἐμὸν ὄμμα καλύπτει
black and my eye covers
ἤδη ἀποφθιμένης κυάνεος θάνατος.”
already having-perished dark death

647. ΣΙΜΩΝΙΔΟΥ, *οἱ* δὲ ΣΙΜΙΟΥ

647 of-Simonides the(-others) and of-Simias

Ὕστατα δὴ τάδ᾽ ἔειπε φίλην ποτὶ μητέρα Γοργὼ
Last indeed these said dear to mother Gorgo
δακρυόεσσα, δέρης χερσὶν ἐφαπτομένη·
tearful of-neck with-hands touching
“Αὖθι μένοις παρὰ πατρί,
Here may-you-remain by father
τέκοις δ᾽ ἐπὶ λῴονι μοίρᾳ
may-you-bear and in better fate
ἄλλαν, σῷ πολιῷ γήραϊ καδεμόνα.”
another for-your for-gray for-old-age caretaker

648. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ

648 of-Leonidas of-Tarentum

Ἐσθλὸς Ἀριστοκράτης ὅτ' ἀπέπλεεν εἰς Ἀχέροντα,
Noble Aristocrates when he-sailed-away to Acheron
εἶπ' ὀλιγοχρονίης ἁψάμενος κεφαλῆς·
said of-short-lived having-touched head
"Παίδων τις μνήσαιτο, καὶ ἐδνώσαιτο γυναῖκα,
Of-children someone let-be-mindful and let-woo wife
εἰ καί μιν δάκνοι δυσβίοτος πενίη·
if even him should-bite hard-living poverty
ζωὴν στυλώσαιτο· κακὸς δ' ἄστυλος ἰδέσθαι
life let-him-prop-with-pillars wretched and pillarless to-see
οἶκος· ὃ δ' αὖ λῷστον, τἀνέρος ἐσχαρεὼν
house which and in-turn best of-the-man hearth
εὐκίων φαίνοιτο, καὶ ἐν πολυκαέι ὄγκῳ
well-pillared may-appear and in much-burning mass
ἐμπρέποι, αὐγάζων δαλὸν ἐπεσχάριον."
may-be-conspicuous gleaming brand at-the-hearth
ᾔδει Ἀριστοκράτης τὸ κρήγυον· ἀλλὰ γυναικῶν,
knew Aristocrates the good but of-women
ὤνθρωπ', ἤχθαιρεν τὴν ἀλιτοφροσύνην.
O-man hated the sinful-mindedness

649. ΑΝΥΤΗΣ ΜΕΛΟΠΟΙΟΥ

649 of-Anyte the-lyric-poet

Ἀντί τοι εὐλεχέος θαλάμου σεμνῶν θ' ὑμεναίων
Instead-of for-you of-wedded of-chamber of-solemn and of-wedding-songs
μάτηρ στῆσε τάφῳ τῷδ' ἐπὶ μαρμαρίνῳ
mother set tomb this on marble
παρθενικάν, μέτρον τε τεὸν καὶ κάλλος ἔχοισαν,
maiden measure both your and beauty having
Θερσί· ποτιφθεγκτὰ δ' ἔπλεο καὶ φθιμένα.
Thersis addressable and you-are even having-perished

650. [ΦΛΑΚΚΟΥ ἢ] ΦΑΛΑΙΚΟΥ

650 of-Flaccus or of-Phalaecus

Φεῦγε θαλάσσια ἔργα, βοῶν δ' ἐπιβάλλευ ἐχέτλῃ,
Flee sea's works of-oxen but put-hand-to plow-handle
εἴ τί τοι ἡδὺ μακρῆς πείρατ' ἰδεῖν βιοτῆς·
if anything to-you sweet of-long ends to-see of-life
ἠπείρῳ γὰρ ἔνεστι μακρὸς βίος· εἰν ἁλὶ δ' οὔ πως
on-land for is long life in sea but not at-all
εὐμαρὲς εἰς πολιὴν ἀνδρὸς ἰδεῖν κεφαλήν.
easy to gray of-man to-see head

651. ΕΥΦΟΡΙΩΝΟΣ

651 of-Euphorion

Οὐχ ὁ τρηχὺς Ἐλαιὸς ἐπ' ὀστέα κεῖνα καλύπτει,
Not the rough Elaeus on bones those covers
οὐδ' ἡ κυάνεον γράμμα λαλοῦσα πέτρη·
nor the dark letter speaking rock

ἀλλὰ τὰ μὲν Δολίχης τε καὶ αἰπεινῆς Δρακάνοιο
but them indeed of-Doliche both and of-steep of-Dracanon
Ἰκάριον ῥήσσει κῦμα περὶ κροκάλαις·
Icarian dashes wave around shingle
ἀντὶ δ' ἐγὼ ξενίης Πολυμήδεος ἡ κενεὴ χθὼν
instead and I of-hospitality of-Polymedes the empty earth
ὠγκώθην Δρυόπων διψάσιν ἐν βοτάναις.
I-was-heaped of-Dryopes thirsty in grasses

652. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ

652 of-Leonidas of-Tarentum

Ἠχήεσσα θάλασσα, τί τὸν Τιμάρεος οὕτως
Resounding sea why the of-Timares so
πλώοντ' οὐ πολλῇ νηὶ Τελευταγόρην,
sailing not in-great ship Teleutagoras
ἄγρια χειμήνασα, κατεπρηνώσαο πόντῳ
savagely having-stormed you-overturned in-sea
σὺν φόρτῳ, λάβρον κῦμ' ἐπιχευαμένη;
with cargo fierce wave having-poured-on
χὠ μέν που καύηξιν ἢ ἰχθυβόροις λαρίδεσσιν
and-he indeed somewhere by-shearwaters or by-fish-eating gulls
τεθρήνητ' ἄπνους εὐρεῖ ἐπ' αἰγιαλῷ·
is-lamented breathless broad on shore
Τιμάρης δὲ κενὸν τέκνου κεκλαυμένον ἀθρῶν
Timares and empty of-son wept-over seeing
τύμβον, δακρύει παῖδα Τελευταγόρην.
tomb weeps son Teleutagoras

653. ΠΑΓΚΡΑΤΟΥΣ

653 of-Pancrates

Ὤλεσεν Αἰγαίου διὰ κύματος ἄγριος ἀρθεὶς
Destroyed of-Aegean through wave savage having-risen
Λὶψ Ἐπιηρείδην Ὑάσι δυομέναις,
Southwest-Wind Epiereides with-Hyades setting
αὐτὸν ἑῇ σὺν νηὶ καὶ ἀνδράσιν· ᾧ τόδε σῆμα
him-himself his-own with ship and men for-whom this tomb
δακρύσας κενεὸν παιδὶ πατὴρ ἔκαμεν.
having-wept empty for-son father made

654. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ

654 of-Leonidas of-Tarentum

Αἰεὶ ληϊσταὶ καὶ ἁλιφθόροι, οὐδὲ δίκαιοι
Always pirates and sea-wreckers nor just
Κρῆτες· τίς Κρητῶν οἶδε δικαιοσύνην;
Cretans who of-Cretans knows justice
ὡς καὶ ἐμὲ πλώοντα σὺν οὐκ εὐπίονι φόρτῳ
as also me sailing with not rich cargo
Κρηταιεῖς ὦσαν Τιμόλυτον καθ᾽ ἁλός,
Cretans thrust Timolytus down sea
δείλαιον. κἠγὼ μὲν ἁλιζώοις λαρίδεσσι
wretched and-I indeed by-sea-living gulls
κέκλαυμαι, τύμβῳ δ᾽ οὐχ ὕπο Τιμόλυτος.
am-wept tomb and not under Timolytus

655. ΤΟΥ ΑΥΤΟΥ

655 of-the same

Ἀρκεῖ μοι γαίης μικρὴ κόνις· ἡ δὲ περισσὴ
Suffices for-me of-earth small dust the and excessive
ἄλλον ἐπιθλίβοι πλούσια κεκλιμένον
other may-press-upon richly reclining
στήλη, τὸ σκληρὸν νεκρῶν βάρος· εἴ με θανόντα
stele the hard of-dead weight if me having-died
γνώσοντ', Ἀλκάνδρῳ τοῦτο τί Καλλιτέλευς;
they-will-know to-Alcander this what of-Calliteles

656. ΤΟΥ ΑΥΤΟΥ

656 of-the same

Τὴν ὀλίγην βῶλον καὶ τοῦτ' ὀλιγήριον, ὦνερ,
The small clod and this little-meager O-man
σῆμα ποτίφθεγξαι τλάμονος Ἀλκιμένευς,
tomb address of-wretched of-Alcimenes
εἰ καὶ πᾶν κέκρυπται ὑπ' ὀξείης παλιούρου
if even all is-hidden under sharp Christ's-thorn
καὶ βάτου, ἥν ποτ' ἐγὼ δήϊον Ἀλκιμένης.
and bramble which once I I-ravaged Alcimenes

657. ΤΟΥ ΑΥΤΟΥ

657 of-the same

Ποιμένες οἳ ταύτην ὄρεος ῥάχιν οἰοπολεῖτε
Shepherds who this of-mountain ridge roam-alone
αἶγας κειρείρους ἐμβοτέοντες ὄϊς,
goats and-fleecy pasturing sheep

Κλειταγόρῃ, πρὸς Γῆς, ὀλίγην χάριν, ἀλλὰ προσηνῆ
to-Clitagoras by Earth small favor but kindly
τίνοιτε, χθονίης εἵνεκα Φερσεφόνης.
may-you-pay underground for-sake of-Persephone
βληχήσαιντ' ὄϊές μοι, ἐπ' ἀξέστοιο δὲ ποιμὴν
may-bleat sheep for-me on unhewn and shepherd
πέτρης συρίζοι πρηέα βοσκομέναις·
rock may-pipe gently to-grazing
εἴαρι δὲ πρώτῳ λειμώνιον ἄνθος ἀμέρσας
in-spring and first meadow flower having-plucked
χωρίτης στεφέτω τύμβον ἐμὸν στεφάνῳ,
countryman let-crown tomb my with-wreath
καί τις ἀπ' εὐάρνοιο καταχραίνοιτο γάλακτι
and someone from fine-lambed may-wet with-milk
οἰός, ἀμολγαῖον μαστὸν ἀνασχόμενος,
of-ewe milking udder holding-up
κρηπῖδ' ὑγραίνων ἐπιτύμβιον· εἰσὶ θανόντων
base moistening of-the-tomb there-are of-the-dead
εἰσὶν ἀμοιβαῖαι κἀν φθιμένοις χάριτες.
there-are returned even-among the-dead favors

658. ΘΕΟΚΡΙΤΟΥ, οἱ δὲ ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ

658 of-Theocritus the(-others) and of-Leonidas of-Tarentum

Γνώσομαι εἴ τι νέμεις ἀγαθοῖς πλέον, ἢ καὶ ὁ δειλὸς
I-will-know if at-all you-allot to-good more or also the coward
ἐκ σέθεν ὡσαύτως ἶσον, ὁδοιπόρ', ἔχει.
from you equally equal wayfarer has

"Χαιρέτω οὗτος ὁ τύμβος," ἐρεῖς, "ἐπεὶ Εὐρυμέδοντος
Let-fare-well this the tomb you-will-say since of-Eurymedon
κεῖται τῆς ἱερῆς κοῦφος ὑπὲρ κεφαλῆς."
it-lies of-the holy light over head

Eurymedon leaves a young son whom the citizens will honor, a drunkard dies of a night walk, and the sophist Eusthenes is buried by his friends. A girl dies at seven, Medeius' nurse is remembered, and Archilochus' fame goes to the farthest east and west. A sailor drowns, Leander and Hero share a tomb, and Amazonia bids her family cease from grief. Plato's Aster, once the Morning Star among the living, shines as the Evening Star among the dead, and Charon is asked why he snatched young Attalus, who would have been his even had he died old. Andreas, Archilochus, Epictetus, Megistias the seer, and the veteran Soterichus follow, and the patriarch Sophronius praises John of Cyprus.

659. ΘΕΟΚΡΙΤΟΥ

659 of-Theocritus

Νήπιον υἱὸν ἔλειπες· ἐν ἡλικίῃ δὲ καὶ αὐτός,
Infant son you-left in youth and also yourself
Εὐρύμεδον, τύμβου τοῦδε θανὼν ἔτυχες.
Eurymedon of-tomb this having-died you-got
σοὶ μὲν ἕδρη θείοισι παρ' ἀνδράσι· τὸν δὲ πολῖται
for-you indeed seat divine among men him and citizens
τιμησεῦντι, πατρὸς μνώμενοι ὡς ἀγαθοῦ.
will-honor of-father remembering as good

660. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ

660 of-Leonidas of-Tarentum

Ξεῖνε, Συρακόσιός τοι ἀνὴρ τόδ' ἐφίεται Ὄρθων,
Stranger Syracusan to-you man this enjoins Orthon
"Χειμερίας μεθύων μηδαμὰ νυκτὸς ἴῃς·"
In-wintry drunk never at-night go
καὶ γὰρ ἐγὼ τοιοῦτον ἔχω μόρον, ἀντὶ δὲ †πολλῆς
also for I such have doom instead and much
πατρίδος ὀθνείαν κεῖμαι ἐφεσσάμενος.
fatherland foreign I-lie having-put-on

661. ΤΟΥ ΑΥΤΟΥ

661 of-the same

Εὐσθένεος τὸ μνῆμα· φυσιγνώμων ὁ σοφιστής,
Of-Eusthenes the memorial physiognomist the sophist
δεινὸς ἀπ' ὀφθαλμοῦ καὶ τὸ νόημα μαθεῖν.
clever from eye even the thought to-learn
εὖ μιν ἔθαψαν ἑταῖροι ἐπὶ ξείνης ξένον ὄντα,
well him buried comrades in foreign stranger being
χὐμνοθέτης ἐν τοῖς δαιμονίως φίλος ὤν.
and-the-hymn-maker among them wondrously dear being
πάντων ὧν ἐπέοικεν ἔχειν τεθνεῶθ' ὁ σοφιστής,
of-all which it-befits to-have dead the sophist
καίπερ ἄκικυς ἐών, εἶχ' ἄρα κηδεμόνας.
though feeble being had then caretakers

662. ΛΕΩΝΙΔΟΥ

662 of-Leonidas

Ἡ παῖς ᾤχετ᾽ ἄωρος ἐν ἑβδόμῳ ἤδ᾽ ἐνιαυτῷ
The girl went untimely in seventh this year
εἰς ἀΐδην, πολλῆς ἡλικίης προτέρη,
to Hades of-much of-age before
δειλαίη, ποθέουσα τὸν εἰκοσάμηνον ἀδελφόν,
wretched longing-for the twenty-month-old brother
νήπιον ἀστόργου γευσάμενον θανάτου.
infant of-loveless having-tasted of-death
αἰαῖ, λυγρὰ παθοῦσα Περιστέρη, ὡς ἐν ἑτοίμῳ
alas baneful having-suffered Peristere how in ready
ἀνθρώποις δαίμων θῆκε τὰ δεινότατα.
for-men god set the most-terrible-things

663. ΤΟΥ ΑΥΤΟΥ

663 of-the same

Ὁ μικκὸς τόδ᾽ ἔτευξε τᾷ Θραΐσσᾳ
The little this made for-the Thracian
Μήδειος τὸ μνᾶμ᾽ ἐπὶ τᾷ ὁδῷ, κἠπέγραψε Κλείτας.
Medeius the memorial on the road and-inscribed of-Cleita
ἑξεῖ τὰν χάριν ἁ γυνὰ ἀντ᾽ ἐκείνων
will-have the favor the woman in-return-for those
ὧν τὸν κῶρον ἔθρεψε. τί μάν; ἔτι χρησίμα καλεῖται.
of-which the boy she-reared what indeed still useful is-called

664. ΑΛΛΟ

664 another

Ἀρχίλοχον καὶ στᾶθι καὶ εἴσιδε τὸν πάλαι ποιητάν,
Archilochus both stop and look-at the long-ago poet
τὸν τῶν ἰάμβων, οὗ τὸ μυρίον κλέος
the of-the iambs of-whom the countless fame
διῆλθε κἠπὶ νύκτα καὶ ποτ᾽ ἀῶ.
went-through both-to night and to dawn
ἦ ῥά νιν αἱ Μοῦσαι καὶ ὁ Δάλιος ἠγάπευν Ἀπόλλων,
truly then him the Muses and the Delian loved Apollo
ὡς ἐμμελής τ᾽ ἔγεντο κἠπιδέξιος
as tuneful and was and-skillful
ἔπεά τε ποιεῖν, πρὸς λύραν τ᾽ ἀείδειν.
words both to-make to lyre and to-sing

665. ΤΟΥ ΑΥΤΟΥ ΛΕΩΝΙΔΟΥ

665 of-the same of-Leonidas

Μήτε μακρῇ θαρσέων ναυτίλλεο μήτε βαθείῃ
Neither in-long trusting sail nor in-deep
νηΐ· κρατεῖ παντὸς δούρατος εἷς ἄνεμος.
ship rules all timber one wind
ὤλεσε καὶ Πρόμαχον πνοιὴ μία, κῦμα δ᾽ ἓν αὖτως
destroyed also Promachus blast one wave and one likewise
ἀθρόον ἐς κοίλην ἐστυφέλιξεν ἅλα.
all-at-once into hollow thrust sea

οὐ μὴν οἱ δαίμων πάντῃ κακός· ἀλλ᾽ ἐνὶ γαίῃ
not indeed to-him god wholly evil but in earth
πατρίδι καὶ τύμβου καὶ κτερέων ἔλαχεν
fatherland also tomb and funeral-rites got
κηδεμόνων ἐν χερσίν, ἐπεὶ τρηχεῖα θάλασσα
of-kinsmen in hands since rough sea
νεκρὸν πεπταμένους θῆκεν ἐπ᾽ αἰγιαλούς.
corpse spread-out set on shores

666. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ

666 of-Antipater of-Thessalonica

Οὗτος ὁ Λειάνδροιο διάπλοος, οὗτος ὁ πόντου
This the of-Leander crossing this the of-sea
πορθμός, ὁ μὴ μούνῳ τῷ φιλέοντι βαρύς·
strait the not to-alone to-the loving heavy
ταῦθ᾽ Ἡροῦς τὰ πάροιθεν ἐπαύλια, τοῦτο τὸ πύργου
these of-Hero the former dwellings this the of-tower
λείψανον, ὁ προδότης ὧδ᾽ ἐπέκειτο λύχνος.
remnant the betrayer here lay lamp
κοινὸς δ᾽ ἀμφοτέρους ὅδ᾽ ἔχει τάφος, εἰσέτι καὶ νῦν
common and both this holds tomb still also now
κείνῳ τῷ φθονερῷ μεμφομένους ἀνέμῳ.
that the envious blaming wind

667. ΑΔΕΣΠΟΤΟΝ

667 anonymous

Ἐν τῷ ναῷ τῆς ἁγίας Ἀναστασίας ἐν Θεσσαλονίκῃ

In the church of-the holy Anastasia in Thessalonica

Τίπτε μάτην γοόωντες ἐμῷ παραμίμνετε τύμβῳ;
Why in-vain lamenting at-my remain tomb
οὐδὲν ἔχω θρήνων ἄξιον ἐν φθιμένοις.
nothing I-have of-dirges worthy among the-dead
λῆγε γόων καὶ παῦε, πόσις, καὶ παῖδες ἐμεῖο
cease from-laments and stop husband and children of-me
χαίρετε, καὶ μνήμην σῴζετ' Ἀμαζονίης.
farewell and memory keep of-Amazonia

668. ΛΕΩΝΙΔΟΥ

668 of-Leonidas

Οὐδ' εἴ μοι γελόωσα καταστορέσειε Γαλήνη
Not-even if for-me laughing should-strew Calm
κύματα, καὶ μαλακὴν ῥῖκα φέροι Ζέφυρος,
waves and soft ripple should-bring Zephyr
νηοβάτην ὄψεσθε· δέδοικα γὰρ οὓς πάρος ἔτλην
ship-boarding you-will-see I-fear for which before I-endured
κινδύνους ἀνέμοις ἀντικορυσσόμενος.
dangers with-winds contending

670. ΠΛΑΤΩΝΟΣ

670 of-Plato

Ἀστὴρ πρὶν μὲν ἔλαμπες ἐνὶ ζωοῖσιν Ἑῷος·
Star before indeed you-shone among the-living Morning
νῦν δὲ θανὼν λάμπεις Ἔσπερος ἐν φθιμένοις.
now and having-died you-shine Evening among the-dead

671. ΑΔΗΛΟΝ, οἱ δὲ ΒΙΑΝΟΡΟΣ

671 uncertain the(-others) and of-Bianor

Πάντα Χάρων ἄπληστε, τί τὸν νέον ἥρπασας αὕτως
All Charon insatiable why the young you-snatched so
Ἄτταλον; οὐ σὸς ἦεν, κἂν θάνε γηραλέος;
Attalus not yours was even-if he-died aged

Ἐν Κορίνθῳ γέγραπται

In Corinth is-written

672. ΑΔΕΣΠΟΤΟΝ

672 anonymous

Χθὼν μὲν ἔχει δέμας ἐσθλόν, ἔχει κλυτὸν οὐρανὸς ἦτορ
Earth indeed holds body noble holds famous heaven heart
Ἀνδρέω, ὃς Δαναοῖσι καὶ Ἰλλυριοῖσι δικάσσας,
of-Andreas who for-Danaans and for-Illyrians having-judged
οὐχ ὁσίων κτεάνων καθαρὰς ἐφυλάξατο χεῖρας.
not of-holy of-possessions pure kept hands

673. ΑΔΗΛΟΝ

673 uncertain

Εἰ γένος εὐσεβέων ζώει μετὰ τέρμα βίοιο,
If race of-pious lives after end of-life
ναιετάον κατὰ θεσμὸν ἀνὰ στόμα φωτὸς ἑκάστου,
dwelling according-to ordinance through mouth of-man of-each
Ἀνδρέα, σὺ ζώεις, οὐ κάτθανες· ἀλλά σε χῶρος
Andreas you live not you-died but you place
ἄμβροτος ἀθανάτων ἁγίων ὑπέδεκτο καμόντα.
immortal of-immortal of-holy received having-died

674. ΑΔΡΙΑΝΟΥ

674 of-Hadrian

Ἀρχιλόχου τόδε σῆμα, τὸν ἐς λυσσῶντας ἰάμβους
Of-Archilochus this tomb whom to raging iambs
ἤγαγε Μαιονίδῃ Μοῦσα χαριζομένη.
led to-Maeonides Muse favoring

675. ΛΕΩΝΙΔΟΥ

675 of-Leonidas

Ἄτρομος ἐκ τύμβου λύε πείσματα ναυηγοῖο·
Fearless from tomb loose cables of-shipwrecked
χἠμῶν ὀλλυμένων ἄλλος ἐνηοπόρει.
and-of-us perishing another sailed

676. ΑΔΗΛΟΝ

676 uncertain

Δοῦλος Ἐπίκτητος γενόμην, καὶ σῶμ' ἀνάπηρος,
Slave Epictetus I-was and in-body crippled
καὶ πενίην Ἶρος, καὶ φίλος ἀθανάτοις.
and in-poverty Irus and dear to-immortals

677. ΣΙΜΩΝΙΔΟΥ

677 of-Simonides

Μνῆμα τόδε κλεινοῖο Μεγιστίου, ὅν ποτε Μῆδοι
Memorial this of-famous of-Megistias whom once Medes
Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι,
Spercheus river killed having-crossed
μάντιος, ὃς τότε κῆρας ἐπερχομένας σάφα εἰδὼς
of-seer who then dooms coming clearly knowing
οὐκ ἔτλη Σπάρτης ἡγεμόνας προλιπεῖν.
not endured of-Sparta leaders to-abandon

678. ΑΔΕΣΠΟΤΟΝ

678 anonymous

Πληρώσας στρατιὴν Σωτήριχος ἐνθάδε κεῖμαι,
Having-completed army-service Soterichus here I-lie
ὄλβον ἐμῶν καμάτων γλυκεροῖς τεκέεσσιν ἐάσας.
wealth of-my of-toils to-sweet to-children having-left
ἦρξα δ' ἐν ἱππήεσσι, Γερήνιος οἷά τε Νέστωρ·
I-ruled and among horsemen Gerenian as — Nestor

ἐξ ἀδίκων τε πόνων κειμήλιον οὐδὲν ἔτευξα.
from unjust and labors treasure none I-made
τοὔνεκα καὶ μετὰ πότμον ὁρῶ φάος Οὐλύμποιο.
therefore even after doom I-see light of-Olympus

679. ΤΟΥ ΑΓΙΟΥ ΣΩΦΡΟΝΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

679 of-the holy of-Sophronius the-Patriarch

— Τύμβε, τίς ἢ πόθεν, ἦν δ' ἔτι παῖς τίνος,
Tomb who or whence was and still child of-whom
ἔργα καὶ ὄλβον,
works and wealth
νεκρός, ὃν ἔνδον ἔχεις, ἔννεπε, κευθόμενον.
corpse whom within you-hold tell hidden
— Οὗτος Ἰωάννης, Κύπριος γένος, υἱὸς ἐτύχθη
This John Cypriot by-race son was
εὐγενέος Στεφάνου· ἦν δὲ νομεὺς Φαρίης.
of-noble of-Stephen was and shepherd of-Pharos
κτήμασι μὲν πολύολβος ὅλων πλέον ὧν τρέφε Κύπρος,
in-possessions indeed very-wealthy of-all more whom reared Cyprus
ἐκ πατέρος πατέρων, ἐξ ὁσίων τε πόνων·
from father of-fathers from holy and labors
ἔργα δὲ θέσκελα πάντα λέγειν, ἅπερ ἐν χθονὶ τεῦξεν,
works but divine all to-tell which on earth he-wrought
οὐδ' ἐμοῦ ἐστι νόου, οὐδ' ἑτέρων στομάτων·
nor of-my is mind nor of-other of-mouths
πάντα γὰρ ἄνδρα παρῆλθε φαεινοτάταις ἀρετῇσι
every for man he-surpassed with-most-shining with-virtues
δόξαντα κρατέειν ταῖς ἀρεταῖς ἑτέρων.
having-seemed to-prevail with-the virtues of-others

τοῦ καὶ κάλλεα πάντα, τάπερ πτόλις ἔλλαχεν αὕτη,
of-whom also beauties all which-very city got this
εἰσὶ φιλοφροσύνης κόσμος ἀρειοτάτης.
are of-kindness ornament of-most-excellent

EPIGRAMS 680–697

John of Alexandria lies here. Palladas' series on Gessius follows: he set out for honor and found death, he outran his fate, and he was cheated by the oracle of Ammon and by two seers who promised him a consul's seat. Apellianus and Pytheas the wise are mourned, Callicrateia died for her husband Zeno, and Glycon, the all-fighter never pushed back in Italy, Greece, or Asia, is overthrown by all-conquering Hades. Glenis drowns while fishing, the hero Philopragmon at the crossroads by Potidaea promises an easy errand to the passer who tells him his business, Cassia's chastity shines in her portrait, the flayed Marsyas hangs on a pine, and John of Epidamnus is praised.

680. ΤΟΥ ΑΥΤΟΥ

680 of-the same

Ἀρχὸς Ἰωάννης Φαρίης ἀρετῶν ἱερήων
Chief John of-Pharos of-virtues of-priests
ἐνθάδε νῦν μετὰ τέρμα φίλῃ παρὰ πατρίδι κεῖται·
here now after end dear by fatherland lies
θνητὸν γὰρ λάχε σῶμα, καὶ εἰ βίον ἄφθιτον ἕξει,
mortal for got body even if life imperishable he-will-have
ἀθανάτους πρήξεις τε κατὰ χθόνα ῥέξεν ἀπείρους.
immortal deeds and on earth he-did countless

681. ΠΑΛΛΑΔΑ ΑΛΕΞΑΝΔΡΕΩΣ

681 of-Palladas of-Alexandria

Οὐκ ἀπεδήμησας τιμῆς χάριν, ἀλλὰ τελευτῆς·
Not you-went-abroad of-honor for-sake but of-end
καὶ χωλός περ ἐὼν ἔδραμες εἰς ἀΐδην,
and lame though being you-ran to Hades
Γέσσιε Μοιράων τροχαλώτερε· ἐκ προκοπῆς γὰρ
Gessius than-the-Fates swifter from advancement for
ἧς εἶχες κατὰ νοῦν, ἐξεκόπης βιότου.
which you-had in mind you-were-cut-off from-life

682. ΤΟΥ ΑΥΤΟΥ

682 of-the same

Γέσσιος οὐ τέθνηκεν ἐπειγόμενος παρὰ Μοίρης·
Gessius not died being-hurried by Fate
αὐτὸς τὴν Μοῖραν προὔλαβεν εἰς ἀΐδην.
himself — Fate outstripped to Hades

683. ΤΟΥ ΑΥΤΟΥ

683 of-the same

"Μηδὲν ἄγαν" τῶν ἑπτὰ σοφῶν ὁ σοφώτατος εἶπεν·
Nothing too-much of-the seven wise the wisest said
ἀλλὰ σὺ μὴ πεισθείς, Γέσσιε, ταῦτ' ἔπαθες·
but you not having-obeyed Gessius these you-suffered
καὶ λόγιός περ ἐὼν ἀλογώτατον ἔσχες ὄνειδος,
and learned though being most-unreasonable you-had reproach
ὡς ἐπιθυμήσας οὐρανίης ἀνόδου.
as having-desired of-heavenly of-ascent

οὕτω Πήγασος ἵππος ἀπώλεσε Βελλεροφόντην,
so Pegasus horse destroyed Bellerophon
βουληθέντα μαθεῖν ἀστροθέτους κανόνας·
wishing to-learn star-setting rules
ἀλλ᾽ ὁ μὲν ἵππον ἔχων καὶ θαρσαλέον σθένος ἥβης,
but he indeed horse having and bold strength of-youth
Γέσσιος οὐδὲ χεσεῖν εὔτονον ἦτορ ἔχων.
Gessius not-even to-shit vigorous heart having

684. ΤΟΥ ΑΥΤΟΥ

684 of-the same

Μηδεὶς ζητήσῃ μερόπων ποτὲ καὶ θεὸς εἶναι,
Let-no-one seek of-mortals ever also god to-be
μηδ᾽ ἀρχὴν μεγάλην, κόμπον ὑπερφίαλον.
nor rule great boast overweening
Γέσσιος αὐτὸς ἔδειξε· κατηνέχθη γὰρ ἐπαρθείς,
Gessius himself showed was-brought-down for having-been-lifted-up
θνητῆς εὐτυχίης μηκέτ᾽ ἀνασχόμενος.
of-mortal of-good-fortune no-longer bearing

685. ΤΟΥ ΑΥΤΟΥ

685 of-the same

Ζητῶν ἐξεῦρες βιότου τέλος εὐτυχίης τε,
Seeking you-found of-life end of-good-fortune and
ἀρχὴν ζητήσας πρὸς τέλος ἐρχομένην.
rule having-sought toward end coming

ἀλλ᾽ ἔτυχες τιμῆς, ὦ Γέσσιε, καὶ μετὰ μοῖραν
but you-got honor O Gessius even after fate
σύμβολα τῆς ἀρχῆς ὕστατα δεξάμενος.
tokens of-the rule last having-received

686. ΤΟΥ ΑΥΤΟΥ

686 of-the same

Γέσσιον ὡς ἐνόησεν ὁ Βαύκαλος ἄρτι θανόντα
Gessius when saw — Baucalus just having-died
χωλεύοντα πλέον, τοῖον ἔλεξεν ἔπος·
limping more such said word
"Γέσσιε, πῶς, τί παθὼν κατέβης δόμον Ἄϊδος εἴσω
Gessius how what having-suffered you-went-down house of-Hades within
γυμνός, ἀκήδεστος, σχήματι καινοτάφῳ;"
naked uncared-for in-fashion newly-buried
τὸν δὲ μέγ᾽ ὀχθήσας προσέφη καὶ Γέσσιος εὐθύς·
him and greatly vexed addressed also Gessius at-once
"Βαύκαλε, τὸ στρῆνος καὶ θάνατον παρέχει."
Baucalus the arrogance even death provides

687. ΤΟΥ ΑΥΤΟΥ

687 of-the same

Τὴν Ἀμμωνιακὴν ἀπάτην ὅτε Γέσσιος ἔγνω
The Ammonian deceit when Gessius knew
τοῦ ξενικοῦ θανάτου ἐγγύθεν ἐρχόμενος,
of-the foreign of-death near coming

τὴν ἰδίαν γνώμην κατεμέμψατο, καὶ τὸ μάθημα,
the his-own judgment he-blamed and the learning
καὶ τοὺς πειθομένους ἀστρολόγοις ἀλόγοις.
and the obeying astrologers irrational

688. ΤΟΥ ΑΥΤΟΥ

688 of-the same

Οἱ δύο Κάλχαντες τὸν Γέσσιον ὤλεσαν ὅρκοις,
The two Calchases — Gessius destroyed with-oaths
τῶν μεγάλων ὑπάτων θῶκον ὑποσχόμενοι.
of-the great of-consuls seat promising
ὦ γένος ἀνθρώπων ἀνεμώλιον, αὐτοχόλωτον,
O race of-men windy self-angered
ἄχρι τέλους βιότου μηδὲν ἐπιστάμενον.
up-to end of-life nothing knowing

689. ΑΔΗΛΟΝ

689 uncertain

Ἐνθάδε σῶμα λέλοιπεν Ἀπελλιανὸς μέγ' ἄριστος·
Here body has-left Apellianus very best
ψυχὴν δ' ἐν χείρεσσιν ἑὴν παρακάτθετο Χριστῷ.
soul but in hands his-own entrusted to-Christ

690. ΑΔΗΛΟΝ

690 uncertain

Οὐδὲ θανὼν κλέος ἐσθλὸν ἀπώλεσας ἐς χθόνα πᾶσαν,
Not-even having-died glory noble you-lost on earth all
ἀλλ᾽ ἔτι σῆς ψυχῆς ἀγλαὰ πάντα μένει,
but still of-your of-soul splendid all remains
ὅσσ᾽ ἔλαχές τ᾽ ἔμαθές τε, φύσει μῆτιν πανάριστε·
as-much-as you-got and you-learned and by-nature wisdom all-best
τῷ ῥα καὶ ἐς μακάρων νῆσον ἔβης, Πυθέα.
therefore then also to of-blessed island you-went Pytheas

691. ΑΔΕΣΠΟΤΟΝ

691 anonymous

Ἄλκηστις νέη εἰμί· θάνον δ᾽ ὑπὲρ ἀνέρος ἐσθλοῦ,
Alcestis new I-am I-died and for husband noble
Ζήνωνος, τὸν μοῦνον ἐνὶ στέρνοισιν ἐδέγμην,
of-Zeno the only in breasts I-received
ὃν φωτὸς γλυκερῶν τε τέκνων προὔκριν᾽ ἐμὸν ἦτορ,
whom than-light of-sweet and of-children preferred my heart
οὔνομα Καλλικράτεια, βροτοῖς πάντεσσιν ἀγαστή.
by-name Callicrateia to-mortals to-all admirable

692. ΑΝΤΙΠΑΤΡΟΥ, οἱ δὲ ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ

692 of-Antipater the(-others) and of-Philip of-Thessalonica

Γλύκων, τὸ Περγαμηνὸν Ἀσίδι κλέος,
Glycon the Pergamene for-Asia glory
ὁ παμμάχων κεραυνός, ὁ πλατὺς πόδας,
the all-fighting thunderbolt the broad in-feet
ὁ καινὸς Ἄτλας, αἵ τ' ἀνίκατοι χέρες
the new Atlas the and unconquered hands
ἔρροντι· τὸν δὲ πρόσθεν οὔτ' ἐν Ἰταλοῖς,
are-gone him and before neither among Italians
οὔθ' Ἑλλάδι προωστόν, οὔτ' ἐν Ἀσίδι,
nor in-Hellas pushed-back nor in Asia
ὁ πάντα νικῶν Ἅϊδης ἀνέτραπεν.
the all conquering Hades overturned

693. ΑΠΟΛΛΩΝΙΔΟΥ

693 of-Apollonides

Γλῆνιν παρηονῖτις ἀμφέχω χερμάς,
Glenis by-the-shore I-cover stone
πικρῇ κατασπασθέντα κύματος δίνῃ,
by-bitter dragged-down of-wave by-eddy
ὅτ' ἰχθυάζετ' ἐξ ἄκρης ἀπορρῶγος·
when he-fished from top of-broken-cliff
χῶσαν δέ μ' ὅσσος λαὸς ἦν συνεργήτης,
heaped and me as-many-as people was fellow-workers

Πόσειδον, οὗς σὺ σῴζε, καὶ γαληναίην
Poseidon whom you save and calm
αἰὲν διδοίης ὁρμιηβόλοις θῖνα.
always may-you-give to-line-casters shore

694. ΑΔΔΑΙΟΥ

694 of-Addaeus

Ἢν παρίῃς ἥρωα, Φιλοπρήγμων δὲ καλεῖται,
If you-pass hero Philopragmon and is-called
πρόσθε Ποτιδαίης κείμενον ἐν τριόδῳ,
before Potidaea lying at crossroad
εἰπεῖν οἷον ἐπ᾽ ἔργον ἄγεις πόδας· εὐθὺς ἐκεῖνος
to-say what to deed you-lead feet at-once he
εὑρήσει σὺν σοὶ πρήξιος εὐκολίην.
will-find with you of-business ease

695. ΑΔΕΣΠΟΤΟΝ

695 anonymous

Ὁρᾷς πρόσωπον Κασσίας τῆς σώφρονος.
You-see face of-Cassia of-the chaste
εἰ καὶ τέθνηκε, ταῖς ἀρεταῖς γνωρίζεται
if even she-has-died by-the virtues is-recognized
ψυχῆς τὸ κάλλος μᾶλλον ἢ τοῦ σώματος.
of-soul the beauty rather than of-the body

696. ΑΡΧΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ

696 of-Archias of-Mitylene

Αἰωρῇ θήρειον ἰμασσόμενος δέμας αὔραις
You-hang beast-like being-lashed body by-breezes
τλᾶμον, ἀορτηθεὶς ἐκ λασίας πίτυος,
wretch having-been-hung from shaggy pine
αἰωρῇ· Φοίβῳ γὰρ ἀνάρσιον εἰς ἔριν ἔστης,
you-hang with-Phoebus for unfitting into strife you-stood
πρῶνα Κελαινίτην ναιετάων, Σάτυρε.
headland Celaenaean dwelling Satyr
σεῦ δὲ βοὰν αὐλοῖο μελίβρομον οὐκέτι Νύμφαι,
your and sound of-pipe honey-sounding no-longer Nymphs
ὡς πάρος, ἐν Φρυγίοις οὔρεσι πευσόμεθα.
as before in Phrygian mountains we-will-hear

697. ΧΡΙΣΤΟΔΩΡΟΥ

697 of-Christodorus

Οὗτος Ἰωάννην κρύπτει τάφος, ὃς ῥ' Ἐπιδάμνου
This John hides tomb who then of-Epidamnus
ἄστρον ἔην, ἣν πρὶν παῖδες ἀριπρεπέες
star was which before sons illustrious
ἔκτισαν Ἡρακλῆος· ὅθεν καὶ μέρμερος ἥρως
founded of-Heracles whence also baneful hero
αἰεὶ τῶν ἀδίκων σκληρὸν ἔκοπτε μένος.
always of-the unjust harsh cut-down might
εἶχε δ' ἀπ' εὐσεβέων προγόνων ἐρικυδέα πάτρην
had and from pious ancestors glorious fatherland
Λυχνιδόν, ἣν Φοῖνιξ Κάδμος ἔδειμε πόλιν.
Lychnidus which Phoenician Cadmus built city

ἔνθεν λύχνος ἔην Ἑλικώνιος, οὕνεκα Κάδμος
whence lamp he-was Heliconian because Cadmus
στοιχείων Δαναοῖς πρῶτος ἔδειξε τύπον.
of-letters to-Danaans first showed form
εἰς ὑπάτους δ' ἀνέλαμψε, καὶ Ἰλλυριοῖσι δικάζων
to consuls and shone-up and for-Illyrians judging
Μούσας καὶ καθαρὴν ἐστεφάνωσε Δίκην.
Muses and pure crowned Justice

EPIGRAMS 698–710

John of Epidamnus, consul and patron of poets, dies at forty-two. Icarus' tomb, the Icarian sea, is cursed. Paula of Tarentum, a young wife, says it was not her husband who killed her but the Fates, and a youth of Nicaea is mourned by his father. A fisherman chokes on a fish, Thyrsis sleeps while Eros guards his flock, and a man is content to have his world burn after his death. Amphipolis is Phyllis' tomb, and Chrysippus dies of drink. Sositheus revives satyr play, Machon's tomb has ivy, Alcman is from Sardis but Spartan, and Erinna writes her friend Baucis' epitaph.

698. ΤΟΥ ΑΥΤΟΥ

698 of-the same

Αὐτὸς Ἰωάννης Ἐπιδάμνιος ἐνθάδε κεῖται,
Himself John of-Epidamnus here lies
τηλεφανὴς ὑπάτων κόσμος ἀειφανέων·
far-shining of-consuls ornament of-ever-shining

ὁ γλυκύ μοι Μουσέων πετάσας φάος, ὁ πλέον ἄλλων
the sweet for-me of-Muses having-spread light the more than-others
εὐρύνας ξενίου δαίμονος ἐργασίην,
having-widened of-hospitable of-god work
παμφόρβην παλάμην κεκτημένος, ἥντινα μούνην
all-feeding hand having which alone
οὐκ ἴδε δωτίνῃς μέτρον ὁριζόμενον.
not saw for-gifts measure being-bounded
αἰπυτάτην δ' ηὔξησε [νόμοις πα]τρίοισιν ἀπήνην,
lofty and he-increased with-laws ancestral chariot
φαιδρύνας καθαρῆς ἔργα Δικαιοσύνης.
having-brightened of-pure works of-Justice
ὦ πόποι, οὐκ ἔζησε πολὺν χρόνον, ἀλλ' ἐνιαυτοὺς
O gods not he-lived long time but years
μοῦνον ἀναπλήσας τεσσαράκοντα δύο,
only having-filled-up forty two
ᾤχετο μουσοπόλοισι ποθὴν πάντεσσιν ἐάσας,
he-went to-servants-of-Muses longing to-all having-left
οὓς ἐπόθει πατέρων φέρτερα γειναμένων.
whom he-longed-for than-fathers better having-begotten

699. ΑΔΕΣΠΟΤΟΝ

699 anonymous

Ἰκάρου ὦ νεόφοιτον ἐς ἠέρα πωτηθέντος
Of-Icarus O newly-roaming into air having-flown
Ἰκαρίη πικρῆς τύμβε κακοδρομίης,
Icarian of-bitter tomb of-ill-voyage

ἀβάλε μήτε σε κεῖνος ἰδεῖν, μήτ᾽ αὐτὸς ἀνεῖναι
would-that neither you he to-see nor himself to-send-up
Τρίτων Αἰγαίου νῶτον ὑπὲρ πελάγευς.
Triton of-Aegean back over sea
οὐ γάρ σοι σκεπανή τις ὑφόρμισις, οὔτε βόρειον
not for to-you sheltering any anchorage nor northern
ἐς κλίτος, οὔτ᾽ ἀγὴν κύματος ἐς νοτίην.
to slope nor breaking of-wave to southern
ἔρροις, ὦ δύσπλωτε, κακόξενε· σεῖο δὲ τηλοῦ
begone O hard-to-sail inhospitable of-you and far
πλώοιμι, στυγεροῦ ὅσσον ἀπ᾽ Ἀΐδεω.
may-I-sail of-hateful as-far-as from Hades

700. ΔΙΟΔΩΡΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

700 of-Diodorus the-Grammarian

Ἴστω νυκτὸς ἐμῆς, ἥ μ᾽ ἔκρυφεν, οἰκία ταῦτα
Let-know of-night my who me hid house this
λάϊνα, Κωκυτοῦ τ᾽ ἀμφιγόητον ὕδωρ,
stone of-Cocytus and lamented-around water
οὔτι μ᾽ ἀνήρ, ὃ λέγουσι, κατέκτανεν ἐς γάμον ἄλλης
not-at-all me husband as they-say killed for marriage of-another
παπταίνων· τί μάτην οὔνομα Ῥουφιανός;
looking-about why in-vain name Rufianus
ἀλλά με Κῆρες ἄγουσι μεμορμέναι. οὐ μία δήπου
but me Fates lead destined not one surely
Παῦλα Ταραντίνη κάτθανεν ὠκύμορος.
Paula Tarentine died swift-fated

701. ΤΟΥ ΑΥΤΟΥ

701 of-the same

Ἰφθίμῳ τόδ' ἐπ' ἀνδρὶ φίλη πόλις ἤνυσ' Ἀχαιῷ
For-mighty this over man dear city accomplished for-Achaeus
γράμμα παρ' εὐΰδρου νάμασιν Ἀσκανίης.
inscription by of-well-watered streams of-Ascania
κλαῦσε δέ μιν Νίκαια· πατὴρ δ' ἐπί οἱ Διομήδης
wept and him Nicaea father and over him Diomedes
λάϊνον ὑψιφαῆ τόνδ' ἀνέτεινε τάφον,
stone high-shining this raised tomb
δύσμορος, αἰάζων ὀλοὸν κακόν. ἦ γὰρ ἐῴκει
ill-fated lamenting deadly evil truly for it-was-fitting
υἱέα οἱ τίνειν ταῦτα κατοιχομένῳ.
son for-him to-pay these having-gone-down

702. ΑΠΟΛΛΩΝΙΔΟΥ

702 of-Apollonides

Ἰχθυοθηρητῆρα Μενέστρατον ὤλεσεν ἄγρη
Fish-hunter Menestratus destroyed catch
δούνακος, ἑξαμίτης ἐκ τριχὸς ἑλκομένη,
of-rod six-threaded from hair being-drawn
εἶδαρ ὅτ' ἀγκίστρου φόνιον πλάνον ἀμφιχανοῦσα
bait when of-hook deadly lure having-gaped-around
ὀξείην ἐρυθρὴ φυκὶς ἔβρυξε πάγην·
sharp red rockfish gulped snare
ἀγνυμένη δ' ὑπ' ὀδόντι κατέκτανεν, ἅλματι λάβρῳ
being-broken and under tooth killed with-leap with-fierce
ἐντὸς ὀλισθηρῶν δυσαμένη φαρύγων.
within slippery having-gone-into of-gullet

703. ΜΥΡΙΝΟΥ

703 of-Myrinus

Θύρσις ὁ κωμήτης, ὁ τὰ νυμφικὰ μῆλα νομεύων,
Thyrsis the villager the(-one) the of-Nymphs flocks pasturing
Θύρσις ὁ συρίζων Πανὸς ἴσον δόνακι,
Thyrsis the piping of-Pan equal on-reed
ἔνδιος οἰνοπότης σκιερὰν ὑπὸ τὰν πίτυν εὕδει·
at-noon wine-drinker shady under the pine sleeps
φρουρεῖ δ' αὐτὸς ἑλὼν ποίμνια βάκτρον Ἔρως.
guards and himself having-taken flocks staff Love
ἆ Νύμφαι, Νύμφαι, διεγείρατε τὸν λυκοθαρσῆ
ah Nymphs Nymphs awaken the wolf-daring
βοσκόν, μὴ θηρῶν κύρμα γένηται Ἔρως.
herdsman lest of-beasts prey may-become Love

704. ΑΔΗΛΟΝ

704 uncertain

Ἐμοῦ θανόντος γαῖα μιχθήτω πυρί·
Of-me having-died earth let-be-mingled with-fire
οὐδὲν μέλει μοι· τἀμὰ γὰρ καλῶς ἔχει.
nothing concerns me my-affairs for well are

705. ΑΝΤΙΠΑΤΡΟΥ

705 of-Antipater

Στρυμόνι καὶ μεγάλῳ πεποτισμένον Ἑλλησπόντῳ
By-Strymon and by-great watered by-Hellespont
ἠρίον Ἠδωνῆς Φυλλίδος, Ἀμφίπολι,
tomb of-Edonian of-Phyllis Amphipolis

λοιπά τοι Αἰθοπίης Βραυρωνίδος ἴχνια νηοῦ
remaining to-you of-Aethopian of-Brauronian traces of-temple
μίμνει, καὶ ποταμοῦ τἀμφιμάχητον ὕδωρ,
remain and of-river the-fought-over water
τὴν δὲ ποτ' Αἰγείδαις μεγάλην ἔριν ὡς ἁλιανθὲς
the but once for-Aegeidae great strife as sea-faded
τρῦχος ἐπ' ἀμφοτέραις δερκόμεθ' ἠϊόσιν.
rag on both we-see shores

706. ΔΙΟΓΕΝΟΥΣ

706 of-Diogenes

Ἰλιγγίασε Βάκχον ἐκπιὼν χανδὸν
Was-dizzy Bacchus having-drunk-up gapingly
Χρύσιππος, οὐδ' ἐφείσατο
Chrysippus nor spared
οὐ τῆς στοᾶς, οὐχ ἧς πάτρας, οὐ τῆς ψυχῆς,
not the Stoa not his-own fatherland not the soul
ἀλλ' ἦλθε δῶμ' ἐς Ἀΐδεω.
but came house to of-Hades

707. ΔΙΟΣΚΟΡΙΔΟΥ

707 of-Dioscorides

Κἠγὼ Σωσιθέου κομέω νέκυν, ὅσσον ἐν ἄστει
And-I of-Sositheus tend corpse as-much-as in town
ἄλλος ἀπ' αὐθαίμων ἡμετέρων Σοφοκλῆν,
another from brothers our Sophocles

Σκίρτος ὁ πυρρογένειος. ἐκισσοφόρησε γὰρ ὠνὴρ
Scirtus the red-bearded wore-ivy for the-man
ἄξια Φλιασίων, ναὶ μὰ χορούς, Σατύρων·
worthy of-Phliasians yes by dances of-Satyrs
κἠμὲ τὸν ἐν καινοῖς τεθραμμένον ἤθεσιν ἤδη
and-me the in new raised manners already
ἤγαγεν εἰς μνήμην πατρίδ' ἀναρχαΐσας·
brought to memory fatherland having-made-ancient
καὶ πάλιν εἰσώρμησα τὸν ἄρσενα Δωρίδι Μούσῃ
and again I-launched the manly in-Dorian in-Muse
ῥυθμόν, πρὸς τ' αὐδὴν ἑλκόμενος μεγάλην
rhythm to and voice drawn great
†ἑπτὰ δέ μοι ἔρσων τύπος οὐ χερὶ καινοτομηθεὶς
(corrupt) and for-me of-dew stamp not by-hand newly-invented
τῇ φιλοκινδύνῳ φροντίδι Σωσιθέου.
in-the danger-loving in-thought of-Sositheus

708. ΤΟΥ ΑΥΤΟΥ

708 of-the same

Τῷ κωμῳδογράφῳ, κούφη κόνι, τὸν φιλάγωνα
To-the comedy-writer light dust the contest-loving
κισσὸν ὑπὲρ τύμβου ζῶντα Μάχωνι φέροις·
ivy over tomb living to-Machon may-you-bring
οὐ γὰρ ἔχεις κηφῆνα παλίμπλυτον, ἀλλά τι τέχνης
not for you-have drone rewashed but some of-art
ἄξιον ἀρχαίης λείψανον ἠμφίεσας.
worthy of-ancient remnant you-clothed

τοῦτο δ' ὁ πρέσβυς ἐρεῖ· "Κέκροπος πόλι,
this and the old-man will-say of-Cecrops city
καὶ παρὰ Νείλῳ
even by Nile
ἔστιν ὅτ' ἐν Μούσαις δριμὺ πέφυκε θύμον."
there-is when among Muses pungent grows thyme

709. ΑΛΕΞΑΝΔΡΟΥ

709 of-Alexander

Σάρδιες ἀρχαῖαι, πατέρων νομός, εἰ μὲν ἐν ὑμῖν
Sardis ancient of-fathers pasture if indeed in you
ἐτρεφόμαν, κερνᾶς ἦν τις ἂν ἢ βακέλας
I-were-reared basket-bearer was some — or eunuch
χρυσοφόρος, ῥήσσων καλὰ τύμπανα· νῦν δέ μοι Ἀλκμὰν
gold-bearing beating fair drums now but to-me Alcman
οὔνομα, καὶ Σπάρτας εἰμὶ πολυτρίποδος,
name and of-Sparta I-am of-many-tripods
καὶ Μούσας ἐδάην Ἑλικωνίδας, αἵ με τυράννων
and Muses learned Heliconian who me than-tyrants
θῆκαν Δασκύλεω μείζονα καὶ Γύγεω.
made than-Dascyles greater and than-Gyges

710. ΗΡΙΝΝΗΣ [ΜΙΤΥΛΗΝΑΙΗΣ]

710 of-Erinna of-Mitylene

Στᾶλαι, καὶ Σειρῆνες ἐμαί, καὶ πένθιμε κρωσσέ,
Stelae and Sirens my and mournful urn
ὅστις ἔχεις Ἀΐδα τὰν ὀλίγαν σποδιάν,
who hold of-Hades the small ash

τοῖς ἐμὸν ἐρχομένοισι παρ᾽ ἠρίον εἴπατε χαίρειν,
to-those my coming by tomb say to-fare-well
αἴτ᾽ ἀστοὶ τελέθωντ᾽, αἴθ᾽ ἑτέρας πόλιος·
whether citizens they-be or of-another of-city
χὤτι με νύμφαν εὖσαν ἔχει τάφος, εἴπατε καὶ τό·
and-that me bride being holds tomb say also this
χὤτι πατήρ μ᾽ ἐκάλει Βαυκίδα, χὤτι γένος
and-that father me called Baucis and-that race
Τηνία, ὡς εἰδῶντι· καὶ ὅττι μοι ἁ συνεταιρὶς
Tenian that they-may-know and that my the companion
Ἤρινν᾽ ἐν τύμβῳ γράμμ᾽ ἐχάραξε τόδε.
Erinna on tomb inscription engraved this

EPIGRAMS 711–726

Cleinareta dies of sickness with her bridal bed already spread, and Erinna's Baucis bids the passer call Hades envious and tell how the torches of her wedding song lit her pyre. Erinna is praised for her few verses. Ibycus' tomb is in Rhegium, and Leonidas lies far from Tarentum but famous. Phaenocritus dies young, and old Leucippus dies hunting hares. Nossis asks the stranger sailing to Sappho's Mytilene to say that the Locrian land bore her, Nossis, the equal of Sappho. Tellen's comic songs are recalled, and the Spartans of Thyrea and Timosthenes are honored. Sparta itself sees smoke on the Eurotas, Proarchus dies for his country, Menecrates says his fated sleep came and the wine has the blame, and Platthis the old weaver lives to eighty.

711. ΑΝΤΙΠΑΤΡΟΥ

711 of-Antipater

Ἤδη μὲν κροκόεις Πιτανάτιδι πίτνατο νύμφᾳ
Already indeed saffron for-Pitanate was-spread for-bride
Κλειναρέτᾳ χρυσέων παστὸς ἔσω θαλάμων,
for-Cleinareta of-golden bridal-bed within chambers
καδεμόνες δ᾽ ἤλποντο διωλένιον φλόγα πεύκας
parents and hoped two-armed flame of-pine-torch
ἅψειν ἀμφοτέραις ἀνσχόμενοι παλάμαις,
to-kindle with-both holding-up with-hands
Δημὼ καὶ Νίκιππος· ἁφαρπάξασα δὲ νοῦσος
Demo and Nicippus having-snatched-away but disease
παρθενικὰν Λάθας ἄγαγεν ἐς πέλαγος·
maiden of-Lethe led to sea
ἀλγειναὶ δ᾽ ἐκάμοντο συνάλικες, οὐχὶ θυρέτρων,
grieving and toiled age-mates not of-doors
ἀλλὰ τὸν Ἀΐδεω στερνοτυπῆ πάταγον.
but the of-Hades breast-beating clatter

712. ΗΡΙΝΝΗΣ

712 of-Erinna

Νύμφας Βαυκίδος ἐμμί· πολυκλαύταν δὲ παρέρπων
Of-bride of-Baucis I-am much-lamented and passing-by
στάλαν τῷ κατὰ γᾶς τοῦτο λέγοις Ἀΐδᾳ·
stele to-the under earth this may-you-say to-Hades
"Βάσκανος ἔσσ᾽, Ἀΐδα·" τὰ δέ τοι καλὰ σάμαθ᾽ ὁρῶντι
Envious you-are Hades the and to-you fair tombs to-seeing
ὠμοτάταν Βαυκοῦς ἀγγελέοντι τύχαν,
cruelest of-Baucis will-announce fortune

ὡς τὰν παῖδ', Ὑμέναιος ἐφ' αἷς ἀείδετο πεύκαις,
how the girl Hymenaeus at which was-sung pine-torches
ταῖσδ' ἐπὶ καδεστὰς ἔφλεγε πυρκαϊᾷ·
with-these at father-in-law burned pyre
καὶ σὺ μέν, ὦ Ὑμέναιε, γάμων μολπαῖον ἀοιδὰν
and you indeed O Hymenaeus of-marriages songful song
ἐς θρήνων γοερὸν φθέγμα μεθηρμόσαο,
into of-dirges mournful sound changed

713. ΑΝΤΙΠΑΤΡΟΥ

713 of-Antipater

Παυροεπὴς Ἤριννα, καὶ οὐ πολύμυθος ἀοιδαῖς·
Few-worded Erinna and not much-talking in-songs
ἀλλ' ἔλαχεν Μούσας τοῦτο τὸ βαιὸν ἔπος.
but got of-Muse this the small word
τοιγάρτοι μνήμης οὐκ ἤμβροτεν, οὐδὲ μελαίνης
therefore of-memory not she-failed nor of-black
νυκτὸς ὑπὸ σκιερῇ κωλύεται πτέρυγι·
of-night under shadowy is-hindered wing
αἱ δ' ἀναρίθμητοι νεαρῶν σωρηδὸν ἀοιδῶν
the and countless of-young in-heaps of-singers
μυριάδες λήθῃ, ξεῖνε, μαραινόμεθα.
myriads by-oblivion stranger we-wither
λωΐτερος κύκνου μικρὸς θρόος ἠὲ κολοιῶν
better of-swan little sound than of-jackdaws
κρωγμὸς ἐν εἰαριναῖς κιδνάμενος νεφέλαις.
cawing in spring scattered clouds

714. ΑΔΕΣΠΟΤΟΝ

714 anonymous

Ῥήγιον Ἰταλίης τεναγώδεος ἄκρον ἀείδω,
Rhegium of-Italy of-shoaly promontory I-sing
αἰεὶ Θρινακίου γευομένην ὕδατος,
always of-Thrinacian tasting water
οὕνεκα τὸν φιλέοντα λύρην φιλέοντά τε παῖδας
because the loving lyre loving and boys
Ἴβυκον εὐφύλλῳ θῆκεν ὑπὸ πτελέῃ,
Ibycus leafy set under elm
ἡδέα πολλὰ παθόντα· πολὺν δ' ἐπὶ σήματι κισσὸν
sweet many having-suffered much and on tomb ivy
χεύατο καὶ λευκοῦ φυταλιὴν καλάμου.
poured and of-white plantation of-reed

715. ΛΕΩΝΙΔΟΥ

715 of-Leonidas

Πολλὸν ἀπ' Ἰταλίης κεῖμαι χθονός, ἔκ τε Τάραντος
Far from Italy I-lie of-land from and Tarentum
πάτρης· τοῦτο δέ μοι πικρότερον θανάτου.
fatherland this and to-me more-bitter than-death
τοιοῦτος πλανίων ἄβιος βίος· ἀλλά με Μοῦσαι
such of-wanderer unlivable life but me Muses
ἔστερξαν, λυγρῶν δ' ἀντὶ μελιχρὸν ἔχω.
loved baneful and instead-of honey-sweet I-have
οὔνομα δ' οὐκ ἤμυσε Λεωνίδου· αὐτά με δῶρα
name and not sank of-Leonidas themselves me gifts
κηρύσσει Μουσέων πάντας ἐπ' ἠελίους.
proclaim of-Muses all to suns

716. ΔΙΟΝΥΣΙΟΥ ΡΟΔΙΟΥ

716 of-Dionysius of-Rhodes

Πρώϊος, ἀλλὰ ποθεινὸς ὅσοι πόλιν Ἰαλύσοιο
Early but longed-for as-many-as city of-Ialysus
ναίομεν, εἰς Λήθης πικρὸν ἔδυς πέλαγος,
we-dwell into of-Lethe bitter you-sank sea
δρεψάμενος σοφίην ὀλίγον χρόνον· ἀμφὶ δὲ τύμβῳ
having-plucked wisdom small time around and tomb
σεῖο καὶ ἄκλαυτοι γλαῦκες ἔθεντο γόον,
your even unwept owls made lament
Φαινόκριτ'· οὐδὲν ὅμοιον ἐπεσσομένοισιν ἀοιδὸς
Phaenocritus nothing like to-coming singer
φθέγξεται, ἀνθρώπους ἄχρι φέρωσι πόδες.
will-utter to-men as-long-as carry feet

717. ΑΔΕΣΠΟΤΟΝ

717 anonymous

Νηϊάδες καὶ ψυχρὰ βοαύλια ταῦτα μελίσσαις
Naiads and cold cattle-stalls these to-bees
οἶμον ἐπ' εἰαρινὴν λέξατε νισσομέναις,
way on spring tell going
ὡς ὁ γέρων Λεύκιππος ἐπ' ἀρσιπόδεσσι λαγωοῖς
that the old-man Leucippus on swift-footed hares
ἔφθιτο χειμερίῃ νυκτὶ λοχησάμενος.
perished in-wintry night having-lain-in-wait
σμήνεα δ' οὐκέτι οἱ κομέειν φίλον· αἱ δὲ τὸν ἄκρης
hives and no-longer to-him to-tend dear the and the of-height
γείτονα ποιμένιαι πολλὰ ποθοῦσι νάπαι.
neighbor pastoral much long-for glens

718. ΝΟΣΣΙΔΟΣ

718 of-Nossis

Ὦ ξεῖν', εἰ τύ γε πλεῖς ποτὶ καλλίχορον Μυτιλάναν,
O stranger if you indeed sail to fair-dancing Mitylene
τὰν Σαπφὼ χαρίτων ἄνθος ἐναυσαμέναν,
the Sappho of-graces flower kindled
εἰπεῖν, ὡς Μούσαισι φίλαν τήνᾳ τε Λοκρὶς γᾶ
to-say that to-Muses dear to-her and Locrian land
τίκτεν ἴσαν ὅτι θ' οἱ τοὔνομα Νοσσίς· ἴθι.
bore equal that and her the-name Nossis go

719. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ

719 of-Leonidas of-Tarentum

Τέλληνος ὅδε τύμβος· ἔχω δ' ὑποβωλέα πρέσβυν
Of-Tellen this tomb I-hold and under-the-clod old-man
τῆνον τὸν πρᾶτον γνόντα γελοιομελεῖν.
that the first having-known to-sing-comic-songs

720. ΧΑΙΡΗΜΟΝΟΣ

720 of-Chaeremon

Κλεύας Οὐτυμοκλεῖος, ὑπὲρ Θυρεᾶν δόρυ τείνας,
Cleuas son-of-Tymocles for Thyrea spear stretching
κάτθανες ἀμφίλογον γᾶν ἀποτεμνόμενος.
you-died disputed land cutting-off

721. ΤΟΥ ΑΥΤΟΥ

721 of-the same

Τοῖς Ἄργει Σπάρτηθεν ἴσαι χέρες, ἶσα δὲ τεύχη
To-the in-Argos from-Sparta equal hands equal and arms
συμβάλομεν· Θυρέαι δ' ἦσαν ἄεθλα δορός.
we-joined Thyrea and were prizes of-spear
ἄμφω δ' ἀπροφάσιστα τὸν οἴκαδε νόστον ἀφέντες
both and without-excuse the homeward return having-given-up
οἰωνοῖς θανάτου λείπομεν ἀγγελίαν.
to-birds of-death we-leave news

722. ΘΕΟΔΩΡΙΔΑ

722 of-Theodoridas

Δηρίφατον κλαίω Τιμοσθένη, υἷα Μολοσσοῦ,
Slain-in-battle I-weep Timosthenes son of-Molossus
ξεῖνον ἐπὶ ξείνῃ Κεκροπίᾳ φθίμενον.
stranger in foreign Cecropia having-perished

723. ΑΔΕΣΠΟΤΟΝ

723 anonymous

Ἃ πάρος ἄδμητος καὶ ἀνέμβατος, ὦ Λακεδαῖμον,
The before unconquered and untrodden O Lacedaemon
καπνὸν ἐπ' Εὐρώτᾳ δέρκεαι Ὠλένιον,
smoke on Eurotas you-see Olenian
ἄσκιος· οἰωνοὶ δὲ κατὰ χθονὸς οἰκία θέντες
shadeless birds and on ground houses having-set
μύρονται· μήλων δ' οὐκ ἀΐουσι λύκοι.
lament of-sheep and not hear wolves

724. ΑΝΥΤΗΣ ΜΕΛΟΠΟΙΟΥ

724 of-Anyte the-lyric-poet

῾Η ῥα μένος σε, Πρόαρχ᾽, ὄλεσ᾽ ἐν δαΐ,
Truly then valor you Proarchus destroyed in battle
δῶμά τε πατρὸς
house and of-father
Φειδία ἐν δνοφερῷ πένθει ἔθου φθίμενος·
of-Pheidias in dark grief you-made having-perished
ἀλλὰ καλόν τοι ὕπερθεν ἔπος τόδε πέτρος ἀείδει,
but fair for-you above word this stone sings
ὡς ἔθανες πρὸ φίλας μαρνάμενος πατρίδος.
that you-died for dear fighting fatherland

725. ΚΑΛΛΙΜΑΧΟΥ

725 of-Callimachus

— Αἴνιε, καὶ σὺ γὰρ ὧδε, Μενέκρατες, οὐκ ἐπὶ πουλὺ
Aenian also you for thus Menecrates not for long
ἦσθα· τί σε, ξείνων λῷστε, κατειργάσατο;
were what you of-strangers best destroyed
ἦ ῥα τὸ καὶ Κένταυρον; — Ὅ μοι πεπρωμένος ὕπνος
truly then that also Centaur The to-me fated sleep
ἦλθεν, ὁ δὲ τλήμων οἶνος ἔχει πρόφασιν.
came the and wretched wine has excuse

726. ΛΕΩΝΙΔΑ

726 of-Leonidas

Ἑσπέριον κὴῷον ἀπώσατο πολλάκις ὕπνον
Evening and-dawn thrust-away often sleep
ἡ γρηῦς πενίην Πλατθὶς ἀμυνομένη·
the old-woman poverty Platthis warding-off
καί τι πρὸς ἠλακάτην καὶ τὸν συνέριθον ἄτρακτον
and something to distaff and the fellow-working spindle
ἤεισεν, πολιοῦ γήραος ἀγχίθυρος,
sang of-gray of-old-age near-the-door
κἄτι παριστίδιος δινευμένη ἄχρις ἐπ᾽ ἠοῦς
and-still by-the-loom whirling up-to to dawn
κεῖνον Ἀθηναίης σὺν Χάρισιν δόλιχον,
that of-Athena with Graces long-course
ἢ ῥικνῇ ῥικνοῦ περὶ γούνατος ἄρκιον ἱστῷ
or with-wrinkled of-wrinkled around knee sufficient for-loom
χειρὶ στρογγύλλουσ᾽ ἱμερόεσσα κρόκην.
with-hand rounding lovely woof
ὀγδωκονταέτις δ᾽ Ἀχερούσιον ηὖγασεν ὕδωρ
eighty-years-old and Acherusian saw water
ἡ καλὴ καλῶς Πλατθὶς ὑφηναμένη.
the fair fairly Platthis having-woven

Phileas is mourned, and the priestess of Demeter and the Cabiri dies among her sons. Tritonis dies in childbirth, and Mnasylla's daughter Neotima is painted dying on her tomb. Old Gorgus, propped on his staff like a vine on its pole, heeds Death's call and gives up his life, and Cinesias, sound in old age, goes to Hades. The twin sisters Anaxo and Cleno, priestesses of the Graces and of Demeter, die nine suns short of eighty. Theano dies while her husband is at sea, Leonidas bids men live content with little, a robber's victim lies unwept, Timarchus drowns off Cyprian Salamis and Polyanthus off Sciathus, and their ashes come home. Cretho was as rich as Gyges and now has a little earth, and an Italian soldier dies retaking the eagle.

727. ΘΕΑΙΤΗΤΟΥ

727 of-Theaetetus

Τὰν γνώμαν ἐδόκει Φιλέας οὐ δεύτερος ἄλλου
In-the judgment seemed Phileas not second to-another
εἶμεν· ὁ δὲ φθονερὸς κλαιέτω ἔσκε θάνῃ.
to-be the and envious let-weep until he-die
ἀλλ' ἔμπας δόξας κενεὰ χάρις· εἰν ἀΐδᾳ γὰρ
but nevertheless of-glory empty grace in Hades for
Μίνω Θερσίτας οὐδὲν ἀτιμότερος.
than-Minos Thersites in-nothing less-honored

728. ΚΑΛΛΙΜΑΧΟΥ

728 of-Callimachus

Ἱερέη Δήμητρος ἐγώ ποτε, καὶ πάλιν Καβείρων,
Priestess of-Demeter I once and again of-Cabiri
ὦνερ, καὶ μετέπειτα Δινδυμήνης,
O-man and afterward of-Dindymene

ἡ γρῆϋς γενόμην, ἡ νῦν κόνις, ἠνο…
the old-woman I-became the now dust (corrupt)
πολλῶν προστασίη νέων γυναικῶν.
of-many patroness of-young of-women
καί μοι τέκν᾽ ἐγένοντο δύ᾽ ἄρσενα, κἠπέμυσ᾽ ἐκείνων
and to-me children were-born two male and-I-closed-the-eyes of-them
εὐγήρως ἐνὶ χερσίν. ἔρπε χαίρων.
blessed-in-old-age in hands go rejoicing

729. ΤΥΜΝΕΩ

729 of-Tymnes

Εὐειδὴς Τριτωνὶς ἐπ᾽ οὐκ ἀγαθαῖς ἐλοχεύθη
Comely Tritonis under not good was-delivered
κληδόσιν· οὐ γὰρ ἂν ὧδ᾽ ὤλετο δαιμονίη
omens not for — so would-have-perished hapless
ἀρτιτόκος· τὰ δὲ πολλὰ κατήγαγεν ἓν βρέφος ᾍδην
just-delivered the and many-things led-down one babe to-Hades
σὺν κείνῃ· δεκάτην δ᾽ οὐχ ὑπερῆρεν ἕως.
with her tenth and not passed dawn

730. ΠΕΡΣΟΥ

730 of-Perses

Δειλαία Μνάσυλλα, τί τοι καὶ ἐπ᾽ ἠρίῳ οὗτος
Wretched Mnasylla why to-you even on tomb this
μυρομένᾳ κούραν γραπτὸς ἔπεστι τύπος
lamenting girl painted is-upon image
Νευτίμας; ἅς δὴ ποκ᾽ ἀπὸ ψυχὰν ἐρύσαντο
of-Neotima whose indeed once away soul drew
ὠδῖνες, κεῖται δ᾽ οἷα κατὰ βλεφάρων
birth-pangs lies and as down eyelids
ἀχλύϊ πλημμύρουσα φίλας ὑπὸ ματρὸς ἀγοστῷ·
with-mist flooding dear in of-mother arm
αἰαῖ Ἀριστοτέλης δ᾽ οὐκ ἀπάνευθε πατὴρ
alas Aristoteles and not far-away father
δεξιτερᾷ κεφαλὰν ἐπεμάσσετο. ὦ μέγα δειλοί,
with-right head touched O greatly wretched
οὐδὲ θανόντες ἑῶν ἐξελάθεσθ᾽ ἀχέων.
not-even having-died your-own you-forgot griefs

731. ΛΕΩΝΙΔΑ

731 of-Leonidas

“Ἄμπελος ὡς ἤδη κάμακι στηρίζομαι αὐτῷ
Vine like already on-pole I-am-propped on-very
σκηπανίῳ· καλέει μ᾽ εἰς ἀΐδην Θάνατος.
on-staff calls me to Hades Death
δυσκώφει μὴ Γόργε· τί τοι χαριέστερον, ἢ τρεῖς
be-deaf not Gorgus what to-you more-pleasing than three
ἢ πίσυρας ποίας θάλψαι ὑπ᾽ ἠελίῳ;”
or four summers to-warm under sun

ὣδ᾽ εἴπας οὐ κόμπῳ, ἀπὸ ζωὴν ὁ παλαιὸς
thus having-said not with-boast away life the old-man
ὤσατο, κὴς πλεόνων ἦλθε μετοικεσίην.
thrust and-to of-the-more came migration

732. ΘΕΟΔΩΡΙΔΑ

732 of-Theodoridas

Ὤχευ ἔτ᾽ ἀσκίπων Κινησία, Ἑρμόλα υἱὲ
You-went still staffless Cinesias of-Hermolas son
ἐκτίσων Ἀΐδῃ χρεῖος ὀφειλόμενον,
to-pay to-Hades debt owed
γήρᾳ ἔτ᾽ ἄρτια πάντα φέρων· χρήστην δὲ δίκαιον
in-old-age still sound all bearing debtor and just
εὑρών σε στέρξει παντοβίης Ἀχέρων.
having-found you will-love all-forcing Acheron

733. ΔΙΟΤΙΜΟΥ

733 of-Diotimus

†Αἰνόμενοι δύο γρῆες ὁμήλικες ἦμεν, Ἀναξὼ
(corrupt) two old-women of-equal-age we-were Anaxo
καὶ Κληνώ, δίδυμοι παῖδες Ἐπικράτεος·
and Cleno twin daughters of-Epicrates

Κληνὼ μὲν Χαρίτων ἱερή, Δήμητρι δ' Ἀναξὼ
Cleno indeed of-Graces priestess to-Demeter and Anaxo
ἐν ζωῇ προπολεῦσ'· ἐννέα δ' ἠελίων
in life serving nine and of-suns
ὀγδωκονταέτεις ἔτι λειπόμεθ' ἐς τόδ' ἱκέσθαι
eighty-years-old still we-fall-short to this to-arrive
τῆς μοίρης· ἐτέων δ' οὐ φθόνος †ἰσοσίη.
of-the fate of-years and not envy (corrupt)
καὶ πόσιας καὶ τέκνα φιλήσαμεν· αἱ δὲ παλαιαὶ
both husbands and children we-loved the and old
πρῶθ' ἡμεῖς Ἀΐδην πρηΰν ἀνυσσάμεθα.
first we Hades gentle we-reached

734. ΑΔΗΛΟΝ

734 uncertain

†Ἤξεν ὅλατιτυτειδεστι. τί γάρ;
(corrupt) (corrupt) what for
νέκυς ω ποτι παίδων
corpse (corrupt) (corrupt) of-children
τῶν ἀγαθῶν ἠδ' ἦν ἀρχιγέρων ὁ γέρων,
of-the good and was eldest the old-man
ἀλλὰ φίλος γ' ὦ πρέσβυ, γένοιτό τευ ὄλβια τέκνα
but dear indeed O old-man may-be of-you blessed children
ἐλθεῖν καὶ λευκῆς ἐς δρόμον ἡλικίης.
to-come also of-white to course of-age

735. ΔΑΜΑΓΗΤΟΥ

735 of-Damagetus

Ὑστάτιον, Φώκαια, κλυτὴ πόλι, τοῦτο Θεανὼ
Last Phocaea famous city this Theano
εἶπεν ἐς ἀτρύγετον νύκτα κατερχομένη·
said into barren night going-down
"Οἴμοι ἐγὼ δύστηνος· Ἀπέλλιχε, ποῖον, ὅμευνε,
Alas I wretched Apellichus what husband
ποῖον ἐπ' ὠκείῃ νηὶ περᾷς πέλαγος;
what on swift ship you-cross sea
αὐτὰρ ἐμεῦ σχεδόθεν μόρος ἵσταται. ὡς ὄφελόν γε
but of-me nearby doom stands as I-ought indeed
χειρὶ φίλην τὴν σὴν χεῖρα λαβοῦσα θανεῖν."
with-hand dear the your hand having-taken to-die

736. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ

736 of-Leonidas of-Tarentum

Μὴ φθείρευ, ὤνθρωπε, περιπλάνιον βίον ἕλκων,
Not wear-yourself-out O-man wandering life dragging
ἄλλην ἐξ ἄλλης εἰς χθόν' ἀλινδόμενος,
another from another to land rolling
μὴ φθείρευ, κἂν εἴ σε περιστέψαιτο καλιὴ
not wear-yourself-out even if you may-surround hut
ἣν θάλποι μικκὸν πῦρ ἀνακαιόμενον,
which may-warm little fire being-kindled
εἰ καί σοι λιτή τε καὶ οὐκ εὐάλφιτος εἴη
if even to-you simple both and not well-mealed may-be
φυστὴ ἐνὶ γρώνῃ μασσομένη παλάμαις,
barley-cake in kneading-trough kneaded with-hands

ἢ καί σοι γλήχων, ἢ καὶ θύμον, ἢ καὶ ὁ πικρὸς
or also to-you pennyroyal or also thyme or also the bitter
ἁδυμιγὴς εἴη χόνδρος ἐποψίδιος.
sweetly-mixed may-be salt relish

737. ΑΔΕΣΠΟΤΟΝ

737 anonymous

Ἐνθάδ' ἐγὼ λῃστῆρος ὁ τρισδείλαιος ἄρῃϊ
Here I of-robber the thrice-wretched by-violence
ἐδμήθην· κεῖμαι δ' οὐδενὶ κλαιόμενος.
was-subdued I-lie and by-no-one wept

738. ΘΕΟΔΩΡΙΔΑ

738 of-Theodoridas

Κληῖδες Κύπρου σε καὶ ἐσχατιαὶ Σαλαμῖνος,
Keys of-Cyprus you and farthest-parts of-Salamis
Τίμαρχ', ὑβριστὴς τ' ὤλεσε Λὶψ ἄνεμος,
Timarchus outrageous and destroyed Southwest wind
νηΐ τε σὺν φόρτῳ τε· κόνιν δέ σου ἀμφιμέλαιναν
ship and with cargo and dust and your black-around
δέξαντ' οἰζυροί, σχέτλιε, κηδεμόνες.
received miserable wretch kinsmen

739. ΦΑΙΔΙΜΟΥ

739 of-Phaedimus

Αἰάζω Πολύανθον, ὃν εὐνέτις, ὦ παραμείβων,
I-lament Polyanthus whom wife O passer-by
νυμφίον ἐν τύμβῳ θῆκεν Ἀρισταγόρη,
bridegroom in tomb placed Aristagora
δεξαμένη σποδιήν τε καὶ ὀστέα (τὸν δὲ δυσαὴς
having-received ash both and bones him and ill-blowing
ὤλεσεν Αἰγαίου κῦμα περὶ Σκίαθον),
destroyed of-Aegean wave around Sciathus
δύσμορον ὀρθρινοί μιν ἐπεὶ νέκυν ἰχθυβολῆες,
ill-fated at-dawn him since corpse fishermen
ξεῖνε, Τορωναίων εἵλκυσαν ἐς λιμένα.
stranger of-Toronaeans dragged to harbor

740. ΛΕΩΝΙΔΑ

740 of-Leonidas

Αὖτα ἐπὶ Κρήθωνος ἐγὼ λίθος, οὔνομα κείνου
This over Cretho I stone name of-him
δηλοῦσα· Κρήθων δ' ἐν χθονίοις σποδιά.
showing Cretho and among underground ash
ὁ πρὶν καὶ Γύγῃ παρισεύμενος ὄλβον, ὁ τὸ πρὶν
the before even to-Gyges equaling wealth the(-one) the before
βουπάμων, ὁ πρὶν πλούσιος αἰπολίοις,
rich-in-oxen the before rich in-goat-flocks
ὁ πρίν — τί πλεῖω μυθεῦμαι; ὁ πᾶσι μακαρτός,
the before what more do-I-tell the to-all blessed
φεῦ, γαίης ὅσσης ὅσσον ἔχει μόριον.
alas of-land of-how-much how-much he-has portion

741. ΚΡΙΝΑΓΟΡΟΥ

741 of-Crinagoras

Ὀθρυάδην, Σπάρτης τὸ μέγα κλέος, ἢ Κυνέγειρον
Othryades of-Sparta the great glory or Cynegeirus
ναύμαχον, ἢ πάντων ἔργα κάλει πολέμων·
sea-fighter or of-all deeds call of-wars
Ἄρεος αἰχμητὴς Ἰταλὸς παρὰ χεύμασι Ῥήνου
of-Ares spearman Italian by streams of-Rhine
κλινθείς, ἐκ πολλῶν ἡμιθανὴς βελέων,
laid-low from many half-dead darts
αἰετὸν ἁρπασθέντα φίλου στρατοῦ ὡς ἴδ' ὑπ' ἐχθροῖς,
eagle having-been-seized of-dear of-army when he-saw by enemies
αὖτις ἀρηϊφάτων ἄνθορεν ἐκ νεκύων·
again slain-in-battle leaped-up from corpses
κτείνας δ' ὃς σφ' ἐκόμιζεν, ἑοῖς ἀνεσώσατο ταγοῖς,
having-killed and who it carried his-own restored to-leaders
μοῦνος ἀήττητον δεξάμενος θάνατον.
alone unconquered having-received death

Timocleia, who had lost her sight, sees the sun again through the twin sons she bore. Hermocrateia bore twenty-nine children and lost none, unlike Niobe. Eudoxus learns his death from the bull Apis. Ibycus' murderers are betrayed by the cranes that saw the killing, and the Erinyes avenge him. The book closes with Zeus' tomb in Crete, Julian's grave beyond the Tigris, and the stone mound of Semiramis at Heraclea, which seems the work of a Cyclops or the Giants.

742. ΑΠΟΛΛΩΝΙΔΟΥ

742 of-Apollonides

Οὐκέτι Τιμόκλεια τεῶν φάος ὤλεσας ὄσσων
No-longer Timocleia of-your light you-lost of-eyes
κούρους δοιοτόκῳ νηδύϊ γειναμένη·
sons from-twin-bearing from-womb having-borne
ὄμμασι δ' ἐν πλεόνεσσιν ἀθρεῖς πυριθαλπὲς ὄχημα
with-eyes and in more you-see fire-warmed chariot
ἠελίου, προτέρης οὖσα τελειοτέρη.
of-sun than-former being more-perfect

743. ΑΝΤΙΠΑΤΡΟΥ

743 of-Antipater

Εἴκοσιν Ἑρμοκράτεια καὶ ἐννέα τέκνα τεκοῦσα
Twenty Hermocrateia and nine children having-borne
οὔθ' ἑνὸς οὔτε μιᾶς αὐγασάμην θάνατον.
neither of-one nor of-one I-saw death
οὐ γὰρ ἀπωΐστευσεν ἐμοὺς υἱῆας Ἀπόλλων,
not for shot-down my sons Apollo
οὐ βαρυπενθήτους Ἄρτεμις εἷλε κόρας·
not grievously-mourned Artemis took daughters

ἔμπαλι δ' ἁ μὲν ἔλυσεν ἐμὰν ὠδῖνα μολοῦσα,
on-the-contrary and she indeed loosed my birth-pang having-come
Φοῖβος δ' εἰς ἥβαν ἄρσενας ἀγάγετο
Phoebus and to youth males led
ἀβλαβέας νούσοισιν. ἴδ' ὡς νίκημι δικαίως
unharmed by-diseases see how I-conquer justly
παισὶν καὶ γλώσσῃ σώφρονι Ταντα λίδα.
with-children and with-tongue with-temperate daughter-of-Tantalus

744. ΔΙΟΓΕΝΟΥΣ

744 of-Diogenes

Ἐν Μέμφει λόγος ἐστὶ μαθεῖν ἰδίην ποτὲ μοίρην
In Memphis story is to-learn own once fate
Εὔδοξον παρὰ τοῦ καλλίκερω ταύρου·
Eudoxus from the fair-horned bull
κοὐδὲν ἔλεξε· πόθεν; βοΐ γὰρ λόγον οὐ πόρε φύτλῃ,
and-nothing it-said whence to-ox for speech not gave nature
οὐδὲ λάλον μόσχῳ Ἄπιδι στόμα·
nor chattering to-calf to-Apis mouth
ἀλλὰ παρ' αὐτὸν λέχριος στὰς ἐλιχμήσατο στόλον,
but beside him sideways having-stood licked robe
προφανῶς τοῦτο διδάσκων· "Ἀποδύσῃ βιοτὴν
clearly this teaching You-will-put-off life
ὅσσον οὔπω." διὸ καὶ οἱ ταχέως ἦλθε μόρος,
as-much-as not-yet wherefore also to-him swiftly came doom
δεκάκις
ten-times
πέντε καὶ τρεῖς εἰσιδόντα ποίας.
five and three having-seen summers

745. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

745 of-Antipater of-Sidon

Ἴβυκε, λῃϊσταί σε κατέκτανον ἔκ ποτε νηός
Ibycus pirates you killed from once ship
βάντ' ἐς ἐρημαίην ἄστιβον ἠϊόνα,
having-gone to lonely untrodden shore
ἀλλ' ἐπιβωσάμενον γεράνων νέφος, αἵ τοι ἵκοντο
but having-called-on of-cranes cloud who to-you came
μάρτυρες ἄλγιστον ὀλλυμένῳ θάνατον·
witnesses most-grievous to-you-perishing death
οὐδὲ μάτην ἰάχησας, ἐπεὶ ποινῆτις Ἐρινὺς
nor in-vain you-cried since avenging Erinys
τῶνδε διὰ κλαγγὴν τίσατο σεῖο φόνον
of-these through clangor avenged your murder
Σισυφίην κατὰ γαῖαν. ἰὼ φιλοκερδέα φῦλα
Sisyphean in land ho gain-loving tribes
ληϊστέων, τί θεῶν οὐ πεφόβησθε χόλον;
of-pirates why of-gods not you-have-feared anger
οὐδὲ γὰρ ὁ προπάροιθε κανὼν Αἴγισθος ἀοιδὸν
not-even for the before having-killed Aegisthus singer
ὄμμα μελαμπέπλων ἔκφυγεν Εὐμενίδων.
eye of-black-robed escaped of-Eumenides

Εἰς τάφον τοῦ Διὸς ἐν Κρήτῃ
On tomb — of-Zeus in Crete

746. ΠΥΘΑΓΟΡΟΥ

746 of-Pythagoras

Ὧδε μέγας κεῖται Ζὰν ὃν Δία κικλήσκουσιν.
Here great lies Zan whom Zeus they-call

747. ΛΙΒΑΝΙΟΥ

747 of-Libanius

Ἰουλιανὸς μετὰ Τίγριν ἀγάρροον ἐνθάδε κεῖται,
Julian beyond Tigris strong-flowing here lies
ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής.
both king and good mighty and spearman

748. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

748 of-Antipater of-Sidon

Τίς τόδε μουνόγληνος ἅπαν δωμήσατο Κύκλωψ
Who this one-eyed whole built Cyclops
λάϊνον Ἀσσυρίης χῶμα Σεμιράμιος,
stone of-Assyrian mound of-Semiramis
ἢ ποῖοι χθονὸς υἷες ἀνυψώσαντο Γίγαντες
or what of-earth sons raised-high Giants
κείμενον ἑπταπόρων ἀγχόθι Πληϊάδων
lying of-seven-pathed near of-Pleiads
ἀκλινές, ἀστυφέλικτον, Ἀθωέος ἶσον ἐρίπνᾳ
unbending unshaken of-Athos equal to-crag
φυρηθὲν γαίης εὐρυπέδοιο βάρος;
kneaded of-earth of-broad-based weight
δᾶμος ἀεὶ μακαριστός, ὃς ἄστεσιν Ἡρακλείης
people always blessed which for-citizens of-Heraclea
οὐρανίων [νεφέων τεῦξεν ἐπ'] εὐρυάλων.
of-heavenly of-clouds built over broad-threshing-floored

ΕΠΙΓΡΑΜΜΑΤΑ ΠΡΟΤΡΕΠΤΙΚΑ

Book X: The Hortatory and Admonitory Epigrams

BOOK X: THE HORTATORY AND ADMONITORY EPIGRAMS

EPIGRAMS 1–12

Book X, the hortatory and admonitory epigrams, opens with spring. Leonidas' Priapus of the harbor says it is the sailing season: the swallow is back, the sea is calm, so take up the anchors and sail. Antipater, Marcus Argentarius, Thyillus, and Satyrus repeat the call with the meadows in flower and the Zephyr blowing. The road to Hades is the same from every land. Archias' Priapus on a sea rock answers sailors' prayers and expects incense, and a small Priapus helps fishermen. Pan of the shore and Pan of the hunt are honored, and travelers are bidden to rest under a juniper by Hermes of the road and honor him.

1. ΛΕΩΝΙΔΟΥ

1 of-Leonidas

Ὁ πλόος ὡραῖος· καὶ γὰρ λαλαγεῦσα χελιδὼν
The sailing seasonable and for chattering swallow
ἤδη μέμβλωκεν, χὠ χαρίεις Ζέφυρος·
already has-come and-the graceful Zephyr
λειμῶνες δ' ἀνθεῦσι, σεσίγηκεν δὲ θάλασσα
meadows and bloom has-fallen-silent and sea
κύμασι καὶ τρηχεῖ πνεύματι βρασσομένη.
with-waves and with-rough with-wind being-tossed
ἀγκύρας ἀνέλοιο, καὶ ἐκλύσαιο γύαια,
anchors take-up and loose hawsers
ναυτίλε, καὶ πλώοις πᾶσαν ἐφεὶς ὀθόνην.
sailor and sail all having-let-go canvas

ταῦθ' ὁ Πρίηπος ἐγὼν ἐπιτέλλομαι ὁ λιμενίτας,
these — Priapus I enjoin the of-the-harbor
ὄνθρωφ', ὡς πλώοις πᾶσαν ἐπ' ἐμπορίην.
O-man that you-may-sail all for trade

2. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ

2 of-Antipater of-Sidon

Ἀκμαῖος ῥοθίῃ νηὶ δρόμος, οὐδὲ θάλασσα
Seasonable for-surging for-ship course nor sea
πορφύρει τρομερῇ φρικὶ χαρασσομένη·
grows-dark with-trembling with-ripple being-furrowed
ἤδη δὲ πλάσσει μὲν ὑπώροφα γυρὰ χελιδὼν
already and molds indeed under-the-roof round swallow
οἰκία, λειμώνων δ' ἁβρὰ γελᾷ πέταλα.
houses of-meadows and soft laugh leaves
τοὔνεκα μηρύσασθε διάβροχα, πείσματα ναῦται,
therefore wind-up drenched cables sailors
ἕλκετε δ' ἀγκύρας φωλάδας ἐκ λιμένων·
draw and anchors lurking from harbors
λαίφεα δ' εὐυφέα προτονίζετε. ταῦθ' ὁ Πρίηπος
sails and well-woven hoist these — Priapus
ὔμμιν ἐνορμίτας παῖς ἐνέπω Βρομίου.
to-you of-the-harbor son I-say of-Bromius

3. ΑΔΗΛΟΝ

3 uncertain

Εἰς ἀΐδην ἰθεῖα κατήλυσις, εἴτ' ἀπ' Ἀθηνῶν
To Hades straight descent whether from Athens
στείχοις, εἴτε νέκυς νίσεαι ἐκ Μερόης.
you-go or corpse you-come from Meroe
μὴ σέ γ' ἀνιάτω πάτρης ἀποτῆλε θανόντα·
not you indeed let-grieve from-fatherland far having-died
πάντοθεν εἷς ὁ φέρων εἰς ἀΐδην ἄνεμος.
from-everywhere one the bearing to Hades wind

4. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ

4 of-Marcus Argentarius

Λῦσον ἀπ' εὐόρμων δολιχὰ πρυμνήσια νηῶν,
Loose from well-moored long stern-cables of-ships
εὔτροχα δ' ἐκπετάσας λαίφεα ποντοπόρει,
well-running and having-spread sails sail-the-sea
ἔμπορε· χειμῶνες γὰρ ἀπέδραμον, ἄρτι δὲ κῦμα
merchant storms for have-run-off just and wave
γλαυκὸν θηλύνει πρηΰγελως Ζέφυρος·
gray softens gently-laughing Zephyr
ἤδη καὶ φιλότεκνος ὑπὸ τραυλοῖσι χελιδὼν
already also child-loving under lisping swallow
χείλεσι καρφίτην πηλοδομεῖ θάλαμον·
with-lips of-straw builds-with-mud chamber
ἄνθεα δ' ἀντέλλουσι κατὰ χθόνα· τῷ σὺ Πριήπῳ
flowers and rise over earth therefore you to-Priapus
πειθόμενος πάσης ἅπτεο ναυτιλίης.
obeying every undertake seafaring

5. ΘΥΙΛΛΟΥ

5 of-Thyillus

Ἤδη πηλοδομεῦσι χελιδόνες, ἤδη ἀν᾽ οἶδμα
Already build-with-mud swallows already over swell
κολποῦται μαλακὰς εἰς ὀθόνας Ζέφυρος·
fills-out soft to canvas Zephyr
ἤδη καὶ λειμῶνες ὑπὲρ πετάλων ἐχέαντο
already also meadows over leaves poured
ἄνθεα, καὶ τρηχὺς σῖγα μέμυκε πόρος.
flowers and rough silently has-closed strait
σχοίνους μηρύεσθε, ἐφ᾽ ὁλκάδα φορτίζεσθε
cables wind-up onto merchant-ship load
ἀγκύρας, καὶ πᾶν λαῖφος ἔφεσθε κάλοις.
anchors and all sail let-go with-ropes
ταῦτ᾽ ὔμμιν πλώουσιν ἐπ᾽ ἐμπορίην ὁ Πρίηπος
these to-you sailing for trade — Priapus
ὁ λιμενορμίτης ναυτιλίην γράφομαι.
the in-harbor-anchored seafaring I-prescribe

6. ΣΑΤΥΡΟΥ

6 of-Satyrus

Ἤδη μὲν Ζεφύροιο ποητόκου ὑγρὸν ἄημα
Already indeed of-Zephyr grass-bearing wet breath
ἠρέμα λειμῶνας πίτνει ἐπ᾽ ἀνθοκόμους·
gently meadows falls on flower-tressed
Κεκροπίδες δ᾽ ἠχεῦσι· γαληναίη δὲ θάλασσα
Cecropids and sound calm and sea
μειδιάει, κρυερῶν ἄτρομος ἐξ ἀνέμων.
smiles of-chilling fearless from winds

ἀλλ᾽ ἴτε θαρσαλέοι, πρυμνήσια λύετε, ναῦται,
but go bold stern-cables loose sailors
πίτνατε δὲ πτερύγων λεπταλέας στολίδας.
spread and of-wings slender folds
ὦ ἴτ᾽ ἐπ᾽ ἐμπορίην πίσυνοι χαρίεντι Πριήπῳ,
O go for trade trusting in-graceful in-Priapus
ὦ ἴτε δὴ λιμένων δαίμονι πειθόμενοι.
O go indeed of-harbors to-god obeying

7. ΑΡΧΙΟΥ

7 of-Archias

Τοῦδέ με κυμοπλῆγος ἐπὶ σκοπέλοιο Πρίηπον
This me wave-beaten on rock Priapus
ναῦται Θρηϊκίου θέντο πόρου φύλακα,
sailors of-Thracian set of-strait guardian
πολλάκις οἷς ἤϊξα ταχὺς καλέουσιν ἀρωγός,
often to-whom I-darted swift calling helper
ξεῖνε, κατὰ πρύμνης ἡδὺν ἄγων Ζέφυρον.
stranger down stern sweet leading Zephyr
τοὔνεκεν οὔτ᾽ ἄκνισον, ὅπερ θέμις, οὔτ᾽ ἐπιδευῆ
therefore neither without-savor which is-right nor lacking
εἴαρος ἀθρήσεις βωμὸν ἐμὸν στεφάνων,
of-spring you-will-see altar my of-garlands
ἀλλ᾽ αἰεὶ θυόεντα καὶ ἔμπυρον· οὐδ᾽ ἑκατόμβη
but always incense-filled and burning nor hecatomb
τόσσον ὅσον τιμὴ δαίμοσιν ἀνδάνεται.
so-much as-much-as honor to-gods is-pleasing

8. ΤΟΥ ΑΥΤΟΥ

8 of-the same

Βαιὸς ἰδεῖν ὁ Πρίηπος ἐπαιγιαλίτιδα ναίω
Small to-see — Priapus on-the-shore I-dwell
χηλήν, αἰθυίας οὔποτε †ἀντιβίας,
breakwater of-gull never (corrupt)
φοξός, ἄπους, οἷόν κεν ἐρημαίῃσιν ἐπ᾽ ἀκταῖς
pointed-headed footless such-as — lonely on shores
ξέσσειαν μογερῶν υἱέες ἰχθυβόλων.
might-carve of-toiling sons of-fishermen
ἀλλ᾽ ἤν τις γριπεύς με βοηθόον ἢ καλαμευτὴς
but if some fisherman me helper or rod-fisher
φωνήσῃ, πνοιῆς ἴεμαι ὀξύτερος.
calls than-breath I-rush swifter
λεύσσω καὶ τὰ θέοντα καθ᾽ ὕδατος· ἦ γὰρ ἀπ᾽ ἔργων
I-see also the running under water truly for from works
δαίμονες, οὐ μορφᾶς γνωστὸν ἔχουσι τύπον.
gods not of-shapes known have form

9. ΑΔΗΛΟΝ

9 uncertain

Τὸν βραχύν, ἰχθυβολῆες, ὑπὸ σχίνῳ με Πρίηπον
The small fishermen under mastich me Priapus
στειλάμενοι κώπαις τὰν ὀλίγαν ἄκατον,
having-equipped with-oars the small boat
(δίκτυ᾽ ἄγ᾽ ἀπλώσασθε,) πολὺν δ᾽ ἁλιηχέα βῶκα
nets come spread much and sea-swimming bogue
καὶ σκάρον, οὐ θρίσσης νόσφιν, ἀρυσσάμενοι,
and parrot-fish not of-shad without having-drawn

γλαυκὸν ἐνιδρυνθέντα νάπῃ σημάντορα θήρης
gray set-up in-glen indicator of-hunt
τίετ', ἀπ' οὐκ ὀλίγων βαιὸν ἀπαρχόμενοι.
honor from not few little offering-first-fruits

10. ΑΡΧΙΟΥ ΝΕΩΤΕΡΟΥ

10 of-Archias the-Younger

Πᾶνά με τόνδ' ἱερῆς ἐπὶ λισσάδος, αἰγιαλίτην
Pan me this of-holy on smooth-rock shore-dweller
Πᾶνα, τὸν εὐόρμων τῇδ' ἔφορον λιμένων,
Pan the of-well-moored here overseer of-harbors
οἱ γριπῆες ἔθεντο· μέλω δ' ἐγὼ ἄλλοτε κύρτοις,
the fishermen set I-care and I sometimes for-weels
ἄλλοτε δ' αἰγιαλοῦ τοῦδε σαγηνοβόλοις.
sometimes and of-shore this for-net-casters
ἀλλὰ παράπλει, ξεῖνε· σέθεν δ' ἐγὼ οὕνεκα ταύτης
but sail-by stranger of-you and I for-sake-of this
εὐποιΐης πέμψω πρηῢν ὄπισθε νότον.
kindness will-send gentle behind south-wind

11. ΣΑΤΥΡΟΥ

11 of-Satyrus

Εἴτε σύ γ' ὀρνεόφοιτον ὑπὲρ καλαμῖδα παλύνας
Whether you indeed bird-haunted over rod having-smeared
ἰξῷ ὀρειβατέεις, εἴτε λαγοκτονέεις,
with-birdlime you-roam-mountains or you-kill-hares

Πᾶνα κάλει. κυνὶ Πὰν λασίου ποδὸς ἴχνια φαίνει·
Pan call for-dog Pan of-shaggy of-foot tracks shows
σύνθεσιν ἀκλινέων Πὰν ἀνάγει καλάμων.
joining of-unbending Pan raises of-reeds

12. ΑΔΕΣΠΟΤΟΝ

12 anonymous

Τῇδ' ὑπὸ τὰν ἄρκευθον ἴτ' ἀμπαύοντες, ὁδῖται,
Here under the juniper go resting wayfarers
γυῖα παρ' Ἑρμείᾳ σμικρὸν ὁδοῦ φύλακι,
limbs by Hermes a-little of-road guardian
μὴ φύρδαν, ὅσσοι δὲ βαρεῖ γόνυ κάμνετε μόχθῳ
not confusedly as-many-as and with-heavy knee you-toil with-toil
καὶ δίψᾳ, δολιχὰν οἶμον ἀνυσσάμενοι.
and with-thirst long road having-accomplished
πνοιὴ γὰρ καὶ θῶκος ἐύσκιος, ἃ θ' ὑπὸ πέτρᾳ
breeze for and seat well-shaded which and under rock
πῖδαξ εὐνήσει γυιοβαρῆ κάματον·
spring will-lull limb-heavy weariness
ἔνδιον δὲ φυγόντες ὀπωρινοῦ κυνὸς ἄσθμα,
at-noon and having-escaped of-autumn of-dog breath
ὡς θέμις, Ἑρμείην εἰνόδιον τίετε.
as is-right Hermes of-the-road honor

Laurels and water offer the traveler shade. Agathias bids the sailor take heart in the calm and burn fish at Priapus' altar; Paul's Priapus and Theaetetus bid sailors put out in spring. Antiphilus asks the harbor god of Archelaus to send his ship to Triton, and the god of the headland to guard his voyage on to the Pythian's shrine. Argentarius bids Gobrys take wisdom from the Muses, love from Cypris, and wine from Dionysus. Apollonides offers verses for Gaius' first shave, Philodemus prays to Cypris to bring him to harbor, and Bianor warns of the snakes of Egypt. Automedon praises Nicetes as an orator, Crinagoras asks Poseidon to be gentle to others as he was to him, Antipater prays to Apollo, and Lucian counsels both thrift and spending.

13. ΣΑΤΥΡΟΥ

13 of-Satyrus

ἼΗ καλὸν αἱ δάφναι, καλὸν δ' ὑπὸ πυθμέσιν ὕδωρ
Truly fair the laurels fair and under roots water
πιδύει, πυκινὸν δ' ἄλσος ὑποσκιάει
gushes thick and grove shades-over
τηλεθάον, ζεφύροισιν ἐπίδρομον, ἄλκαρ ὁδίταις
flourishing by-zephyrs swept defense for-wayfarers
δίψης καὶ καμάτου καὶ φλογὸς ἠελίου.
of-thirst and of-weariness and of-blaze of-sun

14. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

14 of-Agathias Scholasticus

Εὔδια μὲν πόντος πορφύρεται· οὐ γὰρ ἀήτης
Calm indeed sea grows-dark not for wind
κύματα λευκαίνει φρικὶ χαρασσόμενα·
waves whitens with-ripple being-furrowed

οὐκέτι δὲ σπιλάδεσσι περικλασθεῖσα θάλασσα
no-longer and on-reefs broken-around sea
ἔμπαλιν ἀντωπὸς πρὸς βάθος εἰσάγεται.
back facing to depth is-drawn-in
οἱ ζέφυροι πνείουσιν, ἐπιτρύζει δὲ χελιδὼν
the zephyrs blow twitters and swallow
κάρφεσι κολλητὸν πηξαμένη θάλαμον.
with-straws glued having-fixed chamber
θάρσει, ναυτιλίης ἐμπείραμε, κἂν παρὰ Σύρτιν,
take-heart of-seafaring experienced even-if by Syrtis
κἂν παρὰ Σικελικὴν ποντοπορῇς κροκάλην·
even-if by Sicilian you-sail shingle
μοῦνον ἐνορμίταο παραὶ βωμοῖσι Πριήπου
only of-the-harbor-dweller at altars of-Priapus
ἢ σκάρον ἢ βῶκας φλέξον ἐρευθομένους.
either parrot-fish or bogues burn reddening

15. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ

15 of-Paul the-Silentiary

Ἤδη μὲν ζεφύροισι μεμυκότα κόλπον ἀνοίγει
Already indeed to-zephyrs closed bosom opens
εἴαρος εὐλείμων θελξινόοιο χάρις·
of-spring rich-in-meadows of-mind-charming grace
ἄρτι δὲ δουρατέοισιν ἐπωλίσθησε κυλίνδροις
just and on-wooden slid on-rollers
ὁλκὰς ἀπ᾽ ἠϊόνων ἐς βυθὸν ἑλκομένη.
merchant-ship from shores to depth being-drawn
λαίφεα κυρτώσαντες ἀταρβέες ἔξιτε, ναῦται,
sails having-curved fearless go-out sailors

πρηΰν ἀμοιβαίης φόρτον ἐς ἐμπορίης.
gentle of-exchanging cargo to trade
πιστὸς νηυσὶ Πρίηπος, ἐπεὶ Θέτιν εὔχομαι εἶναι
faithful to-ships Priapus since Thetis I-claim to-be
ἡμετέρου πατρὸς ξεινοδόκον Βρομίου.
of-our of-father host of-Bromius

16. ΘΕΑΙΤΗΤΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

16 of-Theaetetus Scholasticus

Ἤδη καλλιπέτηλον ἐπ᾽ εὐκάρποισι λοχείαις
Already fair-leaved at fruitful births
λήϊον ἐκ ῥοδέων ἀνθοφορεῖ καλύκων·
crop from rosy bears-flowers buds
ἤδη ἐπ᾽ ἀκρεμόνεσσιν ἰσοζυγέων κυπαρίσσων
already on branches of-even-yoked of-cypresses
μουσομανὴς τέττιξ θέλγει ἀμαλλοδέτην·
music-mad cicada charms sheaf-binder
καὶ φιλόπαις ὑπὸ γεῖσα δόμους τεύξασα χελιδὼν
and child-loving under eaves houses having-made swallow
ἔκγονα πηλοχύτοις ξεινοδοκεῖ θαλάμοις.
offspring in-mud-built hosts in-chambers
ὑπνώει δὲ θάλασσα, φιλοζεφύροιο γαλήνης
sleeps and sea of-zephyr-loving of-calm
νηοφόροις νώτοις εὔδια πεπταμένης,
ship-bearing with-backs fair spread
οὐκ ἐπὶ πρυμναίοισι καταιγίζουσα κορύμβοις,
not on stern squalling crests
οὐκ ἐπὶ ῥηγμίνων ἀφρὸν ἐρευγομένη.
not on of-breakers foam belching

ναυτίλε, ποντομέδοντι καὶ ὁρμοδοτῆρι Πριήπῳ
sailor to-sea-ruler and to-harbor-giver to-Priapus
τευθίδος ἢ τρίγλης ἀνθεμόεσσαν ἴτυν,
of-squid or of-mullet flowery rim
ἢ σκάρον αὐδήεντα παραὶ βωμοῖσι πυρώσας,
or parrot-fish vocal at altars having-burned
ἄτρομος Ἰονίου τέρμα θαλασσοπόρει.
fearless of-Ionian end sail-the-sea

17. ΑΝΤΙΦΙΛΟΥ

17 of-Antiphilus

Ἀρχέλεω, λιμενῖτα, σὺ μέν, μάκαρ, ἠπίῳ αὔρῃ
Of-Archelaus of-the-harbor you indeed blessed with-gentle with-breeze
πέμπε κατὰ σταθερῆς οἰχομένην ὀθόνην
send over steady going canvas
ἄχρις ἐπὶ Τρίτωνα· σὺ δ' ἠόνος ἄκρα λελογχὼς
up-to to Triton you and of-shore heights having-got
τὴν ἐπὶ Πυθείου ῥύεο ναυστολίην·
the to Pythian guard voyage
κεἰθεν δ', εἰ Φοίβῳ μεμελήμεθα πάντες ἀοιδοί,
thence and if to-Phoebus we-are-a-care all singers
πλεύσομαι εὐαεῖ θαρσαλέως Ζεφύρῳ.
I-will-sail with-fair-blowing boldly with-Zephyr

18. ΑΡΓΕΝΤΑΡΙΟΥ

18 of-Argentarius

Γῶβρυ, Διώνυσός σε καὶ ἡ φιλεράστρια Κύπρις
Gobrys Dionysus you and the love-loving Cypris
τέρποι, καὶ γλυκεραὶ γράμμασι Πιερίδες·
may-delight and sweet in-letters Pierides
ὧν μὲν γὰρ σοφίην ἀποδρέπτεο· τῆς δ' ἐς ἔρωτας
of-whom indeed for wisdom pluck of-her and to loves
ἔρχεο· τοῦ δὲ φίλας λαβροπότει κύλικας.
go of-him and dear gulp cups

19. ΑΠΟΛΛΩΝΙΔΟΥ

19 of-Apollonides

Ἡδὺ παρειάων πρῶτον θέρος ἤματι τούτῳ
Sweet of-cheeks first summer on-day this
κείρεο, καὶ γενύων ἠϊθέους ἕλικας,
shear and of-jaws youthful curls
Γάϊε· σὸν δὲ πατὴρ χερὶ δέξεται εὐκτὸν ἴουλον
Gaius your and father with-hand will-receive prayed-for down
Λεύκιος, αὐξομένου πουλὺν ἐς ἠέλιον.
Lucius of-growing much to sun
δωρεῦνται χρυσέοισιν, ἐγὼ δ' ἱλαροῖς ἐλέγοισιν·
they-give with-golden I but with-cheerful with-elegies
οὐ γὰρ δὴ πλούτου Μοῦσα χερειοτέρη.
not for indeed than-wealth Muse worse

21. ΦΙΛΟΔΗΜΟΥ

21 of-Philodemus

Κύπρι γαληναίη, φιλονύμφιε, Κύπρι δικαίων
Cypris calm bridegroom-loving Cypris of-just
σύμμαχε, Κύπρι Πόθων μῆτερ ἀελλοπόδων,
ally Cypris of-Desires mother of-storm-footed
Κύπρι, τὸν ἡμίσπαστον ἀπὸ κροκέων ἐμὲ παστῶν,
Cypris the half-torn from saffron me bridal-chambers
τὸν χιόσι ψυχὴν Κελτίσι νιφόμενον,
the with-snows in-soul Celtic being-snowed-on
Κύπρι, τὸν ἡσύχιόν με, τὸν οὐδενὶ κοῦφα λαλεῦντα,
Cypris the quiet me the to-no-one light-things speaking
τὸν σέο πορφυρέῳ κλυζόμενον πελάγει,
the your in-purple being-washed in-sea
Κύπρι φιλορμίστειρα, φιλόργιε, σῶζέ με, Κύπρι,
Cypris harbor-loving revel-loving save me Cypris
Ναϊακοὺς ἤδη, δεσπότι, πρὸς λιμένας.
Naiacian already lady to harbors

22. ΒΙΑΝΟΡΟΣ

22 of-Bianor

Μὴ πόδα γυμνὸν ἔρεσσε δι' ὑλάεσσαν ἀταρπὸν
Not foot naked ply through wooded path
Αἰγύπτου· χαροπῶν φεῦγε διὲξ ὀφίων,
of-Egypt of-glaring flee through of-snakes
ἀγρεῦ δουνακόδιφα· τὸν ἐκ χέρσου δὲ φύλαξαι
hunter reed-searcher the from land and guard-against
ἰόν, ὁ τοξεύειν ὄρνιν ἐπειγόμενος.
venom the to-shoot bird hastening

23. ΑΥΤΟΜΕΔΟΝΤΟΣ

23 of-Automedon

Νικήτης ὀλίγοις μὲν ἐπὶ προτόνοισιν, ἀήτης
Nicetes few indeed on forestays wind
οἷά τε, πρηείης ἄρχεται ἐκ μελέτης·
as — gentle begins from practice
ἀλλ᾽ ὅταν ἐμπνεύσῃ, κατὰ δ᾽ ἱστία πάντα φέρηται,
but when he-blows-in down and sails all are-borne
λαίφεα πακτώσας, μέσσα θέει πελάγη,
sails having-made-fast middle runs seas
ναῦς ἅτε μυριόφορτος, ἕως ἐπὶ τέρματα μύθων
ship like countless-laden until to ends of-speeches
ἔλθῃ ἀκυμάντους †ἔμπροσθεν εἰς λιμένας.
he-comes waveless (corrupt) into harbors

24. ΚΡΙΝΑΓΟΡΟΥ

24 of-Crinagoras

Φρὴν ἱερὴ μεγάλου Ἐνοσίχθονος, ἔσσο καὶ ἄλλοις
Mind holy of-great of-Earth-Shaker be also to-others
ἠπίη, Αἰγαίην οἳ διέπουσιν ἅλα·
gentle Aegean who traverse sea
κἠμοὶ γὰρ Θρήϊκι διωκομένῳ ὑπ᾽ ἀήτῃ
also-to-me for Thracian being-chased by wind
ὤρεξας πρηεῖ᾽ ἀσπασίῳ λιμένας.
you-held-out gentle to-(me)-glad harbors

25. ΑΝΤΙΠΑΤΡΟΥ

25 of-Antipater

Φοῖβε, Κεφαλλήνων λιμενοσκόπε, θῖνα Πανόρμου
Phoebus of-Cephallenians harbor-watcher shore of-Panormus
ναίων, τρηχείης ἀντιπέρην Ἰθάκης,
dwelling of-rough opposite of-Ithaca
δός με δι' εὐπλώτοιο πρὸς Ἀσίδα κύματος ἐλθεῖν,
grant me through fair-sailing to Asia wave to-come
Πείσωνος δολιχῇ νηὶ συνεσπόμενον·
of-Piso long ship following
καὶ τὸν ἐμὸν βασιλῆα τὸν ἄλκιμον εὖ μὲν ἐκείνῳ
and the my king the valiant well indeed to-him
ἵλαον, εὖ δ' ὕμνοις ἄρτισον ἡμετέροις.
gracious well and with-hymns fit our

26. ΛΟΥΚΙΑΝΟΥ

26 of-Lucian

Ὡς τεθνηξόμενος τῶν σῶν ἀγαθῶν ἀπόλαυε,
As about-to-die of-the your goods enjoy
ὡς δὲ βιωσόμενος φείδεο σῶν κτεάνων.
as but about-to-live spare your possessions
ἔστι δ' ἀνὴρ σοφὸς οὗτος, ὃς ἄμφω ταῦτα νοήσας
is and man wise this-one who both these having-perceived
φειδοῖ καὶ δαπάνῃ μέτρον ἐφηρμόσατο.
to-sparing and to-spending measure fitted

Lucian's maxims: you may hide a wrong from men but not from the gods, life is short for the happy and long for the wretched, and Love is only the pretext of licentious souls. Swift favors are sweeter, and all mortal things pass, or we pass them. Palladas sees many a slip between cup and lip and leaves care to the god, and praise is better than blame. Lucian warns that the fortunate have friends and the fallen none, that the false friend is the worst, and that slow counsel is better; Dionysius gives love and marriage their season, a good friend is a treasure, and the soul's wealth is the only true wealth. Palladas mocks a greeting bought with gifts, tells man he was born of lust, not of Plato's heaven, praises silence, and makes Circe a courtesan.

27. ΤΟΥ ΑΥΤΟΥ

27 of-the same

Ἀνθρώπους μὲν ἴσως λήσεις ἄτοπόν τι ποιήσας,
Men indeed perhaps you-will-elude strange something having-done
οὐ λήσεις δὲ θεοὺς οὐδὲ λογιζόμενος.
not you-will-elude but gods not-even planning

28. ΤΟΥ ΑΥΤΟΥ

28 of-the same

Τοῖσι μὲν εὖ πράττουσιν πᾶς ὁ βίος βραχύς ἐστιν,
To-the indeed well faring all the life short is
τοῖς δὲ κακῶς μία νὺξ ἄπλετός ἐστι χρόνος.
to-the but badly one night immense is time

29. ΤΟΥ ΑΥΤΟΥ

29 of-the same

Οὐχ ὁ Ἔρως ἀδικεῖ μερόπων γένος, ἀλλ' ἀκολάστοις
Not — Love wrongs of-mortals race but for-licentious
ψυχαῖς ἀνθρώπων ἔσθ' ὁ Ἔρως πρόφασις.
souls of-men is — Love pretext

30. ΑΔΗΛΟΝ

30 uncertain

Ὠκεῖαι χάριτες γλυκερώτεραι· ἢν δὲ βραδύνῃ,
Swift favors sweeter if but it-delays
πᾶσα χάρις κενεή, μηδὲ λέγοιτο χάρις.
every favor empty nor let-it-be-called favor

31. ΛΟΥΚΙΑΝΟΥ

31 of-Lucian

Θνητὰ τὰ τῶν θνητῶν, καὶ πάντα παρέρχεται ἡμᾶς·
Mortal the of-the mortals and all pass us
ἢν δὲ μή, ἀλλ' ἡμεῖς αὐτὰ παρερχόμεθα.
if but not but we them pass

32. [ΠΑΛΛΑΔΑ]

32 of-Palladas

Πολλὰ μεταξὺ πέλει κύλικος, καὶ χείλεος ἄκρου.
Many-things between is of-cup and of-lip of-edge

33. ΑΔΗΛΟΝ

33 uncertain

Ἐσθλὰ λέγειν αἰεὶ πάντας, καλόν· αἰσχρὰ δέ, δεινόν,
Good to-speak always of-all fair shameful but terrible
κἂν ὦσιν τούτων ἄξιοι ὧν λέγομεν.
even-if they-be of-these worthy which we-speak

34. ΠΑΛΛΑΔΑ

34 of-Palladas

Εἰ τὸ μέλειν δύναταί τι, μερίμνα καὶ μελέτω σοι·
If the to-care can anything care also let-it-concern you
εἰ δὲ μέλει περὶ σοῦ δαίμονι, σοὶ τί μέλει;
if but cares about you to-god for-you what does-it-matter
οὔτε μεριμνήσεις δίχα δαίμονος, οὔτ' ἀμελήσεις·
neither you-will-care without god nor you-will-neglect
ἀλλ' ἵνα σοί τι μέλῃ, δαίμονι τοῦτο μέλει.
but that to-you something may-matter to-god this matters

35. ΛΟΥΚΙΑΝΟΥ

35 of-Lucian

Εὖ πράττων, φίλος εἶ θνητοῖς, φίλος εἶ μακάρεσσι,
Well faring friend you-are to-mortals friend you-are to-blessed
καί σευ ῥηϊδίως ἔκλυον εὐξαμένου·
and of-you easily they-heard having-prayed
ἢν πταίσῃς, οὐδεὶς ἔτι σοι φίλος, ἀλλ' ἅμα πάντα
if you-stumble no-one still to-you friend but together all
ἐχθρά, Τύχης ῥιπαῖς συμμεταβαλλόμενα.
hostile of-Fortune by-gusts changing-together

36. ΤΟΥ ΑΥΤΟΥ

36 of-the same

Οὐδὲν ἐν ἀνθρώποισι Φύσις χαλεπώτερον εὗρεν
Nothing among men Nature harder found
ἀνθρώπου καθαρὰν ψευδομένου φιλίην·
than-man pure feigning friendship
οὐ γὰρ ἔθ' ὡς ἐχθρὸν προφυλασσόμεθ', ἀλλ' ἀγαπῶντες
not for still as enemy we-guard-against but loving
ὡς φίλον, ἐν τούτῳ πλείονα βλαπτόμεθα.
as friend in this more we-are-harmed

37. ΤΟΥ ΑΥΤΟΥ

37 of-the same

Ἡ βραδύπους βουλὴ μέγ' ἀμείνων· ἡ δὲ ταχεῖα
The slow-footed counsel greatly better the but swift
αἰὲν ἐφελκομένη τὴν μετάνοιαν ἔχει.
always drawing-after the repentance has

38. ΔΙΟΝΥΣΙΟΥ

38 of-Dionysius

Ὥρη ἐρᾶν, ὥρη δὲ γαμεῖν, ὥρη δὲ πεπαῦσθαι.
Season to-love season and to-marry season and to-have-ceased

39. ΑΔΗΛΟΝ

39 uncertain

Θησαυρὸς μέγας ἔστ᾽ ἀγαθὸς φίλος, Ἡλιόδωρε,
Treasure great is good friend Heliodorus
τῷ καὶ τηρῆσαι τοῦτον ἐπισταμένῳ.
to-the-one also to-keep him knowing

40. ΑΔΗΛΟΝ

40 uncertain

Μή ποτε, τὸν παρεόντα παρεὶς φίλον, ἄλλον ἐρεύνα,
Not ever the present having-passed-over friend other seek
δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.
of-cowardly of-men by-words obeying

41. ΛΟΥΚΙΑΝΟΥ

41 of-Lucian

Πλοῦτος ὁ τῆς ψυχῆς πλοῦτος μόνος ἐστὶν ἀληθής·
Wealth the of-the soul wealth alone is true
τἆλλα δ᾽ ἔχει λύπην πλείονα τῶν κτεάνων.
the-rest and has grief more than-the possessions
τόνδε πολυκτέανον καὶ πλούσιον ἔστι δίκαιον
this-one very-rich and wealthy it-is just
κλήζειν, ὃς χρῆσθαι τοῖς ἀγαθοῖς δύναται.
to-call who to-use the goods is-able
εἰ δέ τις ἐν ψήφοις κατατήκεται, ἄλλον ἐπ᾽ ἄλλῳ
if but someone in counters wastes-away other on other
σωρεύειν αἰεὶ πλοῦτον ἐπειγόμενος,
to-heap always wealth hastening

οὗτος ὁποῖα μέλισσα πολυτρήτοις ἐνὶ σίμβλοις
this-one like bee many-boled in hives
μοχθήσει, ἑτέρων δρεπτομένων τὸ μέλι.
will-toil others plucking the honey

42. ΤΟΥ ΑΥΤΟΥ

42 of-the same

Ἀρρήτων ἐπέων γλώσσῃ σφραγὶς ἐπικείσθω·
Of-unspeakable of-words on-tongue seal let-be-placed
κρείσσων γὰρ μύθων ἢ κτεάνων φυλακή.
better for of-words than of-possessions guard

43. ΑΔΗΛΟΝ

43 uncertain

Ἓξ ὧραι μόχθοις ἱκανώταται· αἱ δὲ μετ' αὐτὰς
Six hours for-toils most-sufficient the and after them
γράμμασι δεικνύμεναι ΖΗΘΙ λέγουσι βροτοῖς.
by-letters shown LIVE say to-mortals

44. ΠΑΛΛΑΔΑ

44 of-Palladas

Ἤν ὁ φίλος τι λάβῃ,
If the friend something gets
"Δόμινε φράτερ" εὐθὺς ἔγραψεν·
Domine brother at-once he-wrote
ἢν δ' αὖ μή τι λάβῃ, τὸ "Φράτερ" εἶπε μόνον·
if but again not something gets the Brother said only

ὤνια γὰρ καὶ ταῦτα τὰ ῥήματα. αὐτὰρ ἔγωγε
for-sale for also these the words but I
οὐκ ἐθέλω Δόμινε, οὐ γὰρ ἔχω δόμεναι.
not wish Domine not for I-have to-give

45. ΤΟΥ ΑΥΤΟΥ

45 of-the same

Ἂν μνήμην, ἄνθρωπε, λάβῃς, ὁ πατήρ σε τί ποιῶν
If remembrance man you-take the father you what doing
ἔσπειρεν, παύσῃ τῆς μεγαλοφροσύνης.
sowed you-will-cease from-the arrogance
ἀλλ᾽ ὁ Πλάτων σοὶ τῦφον ὀνειρώσσων ἐνέφυσεν,
but — Plato in-you vanity dreaming implanted
ἀθάνατόν σε λέγων καὶ φυτὸν οὐράνιον.
immortal you calling and plant heavenly
ἐκ πηλοῦ γέγονας· τί φρονεῖς μέγα; τοῦτο μὲν οὕτως
from clay you-were-born why think-you great this indeed so
εἶπ᾽ ἄν τις, κοσμῶν πλάσματι σεμνοτέρῳ.
might-say — someone adorning with-fiction with-more-solemn
εἰ δὲ λόγον ζητεῖς τὸν ἀληθινόν, ἐξ ἀκολάστου
if but account you-seek the true from licentious
λαγνείας γέγονας καὶ μιαρᾶς ῥανίδος.
lust you-were-born and foul drop

46. ΤΟΥ ΑΥΤΟΥ

46 of-the same

Ἡ μεγάλη παίδευσις ἐν ἀνθρώποισι σιωπή·
The great education among men silence
μάρτυρα Πυθαγόραν τὸν σοφὸν αὐτὸν ἔχω,
witness Pythagoras the wise himself I-have
ὅς, λαλέειν εἰδώς, ἑτέρους ἐδίδασκε σιωπᾷν,
who to-speak knowing others taught to-be-silent
φάρμακον ἡσυχίης ἐγκρατὲς εὑρόμενος.
remedy of-quiet self-controlled having-found

47. ΤΟΥ ΑΥΤΟΥ

47 of-the same

Ἔσθιε, πῖνε, μύσας ἐπὶ πένθεσιν· οὐ γὰρ ἔοικεν
Eat drink having-closed-the-eyes at griefs not for it-befits
γαστέρι πενθῆσαι νεκρόν· Ὅμηρος ἔφη·
with-belly to-mourn corpse Homer said
καὶ γὰρ ὁμοῦ θάψασαν ὀλωλότα δώδεκα τέκνα
and for together having-buried having-perished twelve children
σίτου μνησαμένην τὴν Νιόβην παράγει.
of-food having-remembered — Niobe brings-forward

48. ΤΟΥ ΑΥΤΟΥ

48 of-the same

Μήποτε δουλεύσασα γυνὴ δέσποινα γένοιτο,
Never having-been-slave woman mistress may-become
ἐστὶ παροιμιακόν. τῷδε δ' ὅμοιον ἐρῶ·
it-is proverbial to-this and like I-will-say

μήτε δίκην δικάσειεν ἀνὴρ γεγονὼς δικολέκτης,
nor case may-judge man having-been pettifogger
μηδ' ὅταν Ἰσοκράτους ῥητορικώτερος ᾖ.
nor-even when than-Isocrates more-oratorical he-be
πῶς γὰρ ὁ μισθαρνεῖν εἰθισμένος οὐδὲν ἑταίρας
how for the to-work-for-hire accustomed nothing than-courtesan
σεμνότερον, δικάσαι μὴ ῥυπαρῶς δύναται;
more-dignified to-judge not sordidly is-able

49. ΤΟΥ ΑΥΤΟΥ

49 of-the same

Καὶ μύρμηκι χολὴν καὶ σέρφῳ φασὶν ἐνεῖναι·
Even in-ant gall and in-gnat they-say to-be-in
εἶτα χολὴν μὲν ἔχει ζῷα τὰ φαυλότατα,
then gall indeed have creatures the meanest
ἐκκεῖσθαι δ' ἐμὲ πᾶσι χολὴν μὴ ἔχοντα κελεύεις,
to-be-exposed and me to-all gall not having you-bid
ὡς μηδὲ ψιλοῖς ῥήμασιν ἀνταδικεῖν
so-that not-even with-bare with-words to-wrong-in-return
τοὺς ἔργοις ἀδικοῦντας; ἀποφράξαντα δεήσει
the by-deeds wronging having-stopped it-will-be-needed
λοιπὸν ὁλοσχοίνῳ τὸ στόμα, μηδὲ πνέειν.
henceforth with-rush the mouth not-even to-breathe

50. ΤΟΥ ΑΥΤΟΥ

50 of-the same

Τὴν Κίρκην οὔ φημι, καθὼς εἴρηκεν Ὅμηρος,
— Circe not I-say as has-said Homer
ἀντ᾽ ἀνδρῶν ποιεῖν ἢ σύας ἠὲ λύκους
instead-of men to-make or swine or wolves
τοὺς αὐτῇ προσιόντας· ἑταίρα δ᾽ οὖσα πανοῦργος,
the to-her approaching courtesan but being knavish
τοὺς δελεασθέντας πτωχοτάτους ἐποίει·
the ensnared poorest made
τῶν δ᾽ ἀνθρωπείων ἀποσυλήσασα λογισμῶν,
of-the and human having-robbed of-reasonings
εἶτ᾽ ἀπὸ τῶν ἰδίων μηδὲν ἔχοντας ἔτι
then from the own nothing having still
ἔτρεφεν ἔνδον ἔχουσα δίκην ζώων ἀλογίστων.
fed within having like creatures irrational
ἔμφρων δ᾽ ὢν Ὀδυσεύς, τὴν νεότητα φυγών,
sensible but being Odysseus the youth having-fled
οὐχ Ἑρμοῦ, φύσεως δ᾽ ἰδίας ἐμφύντα λογισμὸν
not of-Hermes of-nature but own innate reason
εἶχε γοητείας φάρμακον ἀντίπαλον.
had of-sorcery remedy opposing

Palladas: envy is better than pity, and the middle way best. Menander was right to call Opportunity a god. Murderers prosper because Zeus himself hated his father and would have killed him. Not consumption alone kills, but fat too, as Dionysius of Heraclea witnesses; a man boasting he is not ruled by his wife is told he is, like all men, and at best a milder slave if she is chaste. No sign shows a woman's chastity. The belly undoes temperance; man comes naked and goes naked; the expectation of death is worse than death; wealth cannot buy more years; flee the rich; Fortune knows no reason; the poor man never lived. Agathias mocks a fallen great man whose flatterers have fled, Palladas calls life a dangerous voyage, and Agathias warns the newly rich of slippery Fortune.

51. ΤΟΥ ΑΥΤΟΥ

51 of-the same

Ὁ φθόνος οἰκτιρμοῦ, κατὰ Πίνδαρον, ἐστὶν ἀμείνων·
The envy than-pity according-to Pindar is better
οἱ βασκαινόμενοι λαμπρὸν ἔχουσι βίον·
the envied brilliant have life
τοὺς δὲ λίαν ἀτυχεῖς οἰκτείρομεν. ἀλλά τις εἴην
the but too unfortunate we-pity but someone may-I-be
μήτ' ἄγαν εὐδαίμων, μήτ' ἐλεεινὸς ἐγώ.
neither too prosperous nor pitiable I
ἡ μεσότης γὰρ ἄριστον, ἐπεὶ τὰ μὲν ἄκρα πέφυκεν
the mean for best since the indeed extremes are-wont
κινδύνους ἐπάγειν, ἔσχατα δ' ὕβριν ἔχει.
dangers to-bring-on the-uttermost and insolence has

52. ΤΟΥ ΑΥΤΟΥ

52 of-the same

Εὖγε λέγων, τὸν Καιρὸν ἔφης θεόν, εὖγε, Μένανδρε,
Well-done saying the Opportunity you-called god well-done Menander
ὡς ἀνὴρ Μουσῶν καὶ Χαρίτων τρόφιμος·
as man of-Muses and of-Graces nursling
πολλάκι γὰρ τοῦ σφόδρα μεριμνηθέντος ἄμεινον
often for than-the very-much having-been-considered better
προσπεσὸν εὐκαίρως εὗρέ τι ταὐτόματον.
having-fallen-out timely found something the-spontaneous

53. ΤΟΥ ΑΥΤΟΥ

53 of-the same

Εἰ τοὺς ἀνδροφόνους εὐδαίμονας ὄντας ὁρῶμεν,
If the murderers prosperous being we-see
οὐ πάνυ θαυμάζω· τοῦ Διός ἐστι γέρας.
not very I-wonder — of-Zeus it-is privilege
τὸν γὰρ γεννήσαντα μεμισηκὼς καὶ ἐκεῖνος
the for having-begotten having-hated also he
κτεῖνεν ἄν, εἰ ὁ Κρόνος θνητὸς ἐτύγχανεν ὤν·
would-have-killed — if — Cronus mortal happened being
ἀντὶ δὲ τοῦ κτεῖναι σὺν τοῖς Τιτῆσι κολάζει,
instead and of-the to-kill with the Titans he-punishes
δέσμιον, ὡς λῃστήν, εἰς τὸ βάραθρον ἐνείς.
bound as robber into the pit having-thrown

54. ΤΟΥ ΑΥΤΟΥ

54 of-the same

Οὐ ποιεῖ θάνατον μόνον ἡ φθίσις· ἀλλὰ τὸν αὐτὸν
Not makes death only the consumption but the same
καὶ πολλὴ παχύτης πολλάκις εἰργάσατο.
also much fatness often wrought
τοῦδ' ὁ τυραννήσας Διονύσιος Ἡρακλείας
of-this the having-been-tyrant Dionysius of-Heraclea
τῆς ἐν τῷ Πόντῳ μάρτυς, ὁ τοῦτο παθών.
of-the in — Pontus witness the this having-suffered

55. ΤΟΥ ΑΥΤΟΥ

55 of-the same

Ἂν πάνυ κομπάζῃς προστάγμασι μὴ ὑπακούειν
If very you-boast to-commands not to-obey
τῆς γαμετῆς, ληρεῖς· οὐ γὰρ ἀπὸ δρυὸς εἶ,
of-the wife you-talk-nonsense not for from oak you-are
οὐδ' ἀπὸ πέτρης, φησίν· ὅ θ' οἱ πολλοὶ κατ' ἀνάγκην
nor from rock he-says which and the many by necessity
πάσχομεν, ἢ πάντες, καὶ σὺ γυναικοκρατῇ.
suffer or all also you are-wife-ruled
εἰ δ', "Οὐ σανδαλίῳ," φής, "τύπτομαι, οὐδ', ἀκολάστου
if but Not with-slipper you-say I-am-beaten nor licentious
οὔσης μοι γαμετῆς, χρή με μύσαντα φέρειν,"
being for-me of-wife one-must me having-closed-eyes bear
δουλεύειν σε λέγω μετριώτερον, εἴ γε πέπρασαι
to-be-slave you I-say more-moderately if indeed you-have-been-sold
σώφρονι δεσποίνῃ μηδὲ λίαν χαλεπῇ.
to-chaste to-mistress nor too harsh

56. ΤΟΥ ΑΥΤΟΥ

56 of-the same

Οὐδὲν σωφροσύνης τεκμήριόν ἐστι πρόδηλον·
No of-chastity proof is manifest
τοῖς ἐμπαιζομένοις ἀνδράσι ταῦτα λέγω.
to-the being-mocked to-men these-things I-say
οὔτε τὸ δύσμορφον πάντως ἀνύποπτον ὑπάρχει,
neither the ugly wholly unsuspected is
οὔτ' ἀκολασταίνειν πᾶσα πέφυκε καλή,
nor to-be-licentious every is-wont fair
καὶ γάρ τις διὰ τὴν ὥραν τοῖς πολλὰ διδοῦσιν
and for some because-of the beauty to-the much giving
οὐχ ἕπεται· πολλὰς δ' ἐστὶ γυναῖκας ἰδεῖν
not follows many but it-is women to-see
οὐχὶ καλὰς τὴν ὄψιν, ὀπυομένας ἀκορέστως,
not fair the face being-wedded insatiably
καὶ τοῖς χρησαμένοις πολλὰ χαριζομένας.
and to-the having-used much granting
οὐκ εἴ τις συνάγει τὰς ὀφρύας, οὐδὲ γελῶσα
not if one draws-together the brows nor laughing
φαίνεται, ὀφθῆναί τ' ἀνδράσιν ἐκτρέπεται,
appears to-be-seen and by-men turns-away
σωφροσύνης τρόπος οὗτος ἐχέγγυος· ἀλλά τις εὕροι
of-chastity way this sure but one might-find
μαχλάδα μὲν κρύβδην τὴν πάνυ σεμνοτάτην,
lewd indeed secretly the very most-solemn
τὰς δ' ἱλαρὰς καὶ πᾶσι φιλανθρώπως προσιούσας
the but cheerful and to-all kindly approaching
σώφρονας, εἰ σώφρων ἐστὶ γυνή τις ὅλως.
chaste if chaste is woman any at-all

ἡλικίᾳ τοίνυν τάδε κρίνεται; ἀλλ᾽ Ἀφροδίτης
by-age therefore these are-judged but of-Aphrodite
οἴστρων εἰρήνην οὐδὲ τὸ γῆρας ἔχει.
of-stings peace not-even the old-age has
ὅρκοις λοιπὸν ἄγει τε πεποίθαμεν· ἀλλὰ μεθ᾽ ὅρκον
in-oaths henceforth leads and we-have-trusted but after oath
ζητεῖν ἐστὶ θεοὺς δώδεκα καὶ †νερεου.
to-seek it-is gods twelve and (corrupt)

57. ΤΟΥ ΑΥΤΟΥ

57 of-the same

Γαστέρα μισήσειε θεὸς καὶ βρώματα γαστρός·
Belly may-hate god and foods of-belly
εἵνεκα γὰρ τούτων σωφροσύνα λύεται.
for-sake for of-these chastity is-dissolved

58. ΤΟΥ ΑΥΤΟΥ

58 of-the same

Γῆς ἐπέβην γυμνός, γυμνός θ᾽ ὑπὸ γαῖαν ἄπειμι·
Earth I-trod naked naked and under earth I-go-away
καὶ τί μάτην μοχθῶ, γυμνὸν ὁρῶν τὸ τέλος;
and why in-vain do-I-toil naked seeing the end

59. ΤΟΥ ΑΥΤΟΥ

59 of-the same

Προσδοκίη θανάτου πολυώδυνός ἐστιν ἀνίη·
Expectation of-death much-painful is grief
τοῦτο δὲ κερδαίνει θνητὸς ἀπολλύμενος.
this but gains mortal perishing
μὴ τοίνυν κλαύσῃς τὸν ἀπερχόμενον βιότοιο·
not therefore weep-for the departing from-life
οὐδὲν γὰρ θανάτου δεύτερόν ἐστι πάθος.
nothing for than-death second is suffering

60. ΤΟΥ ΑΥΤΟΥ

60 of-the same

Πλουτεῖς· καὶ τί τὸ λοιπόν; ἀπερχόμενος μετὰ σαυτοῦ
You-are-rich and what the rest departing with yourself
τὸν πλοῦτον σύρεις, εἰς σορὸν ἑλκόμενος;
the wealth do-you-drag into coffin being-drawn
τὸν πλοῦτον συνάγεις δαπανῶν χρόνον· οὐ δύνασαι δὲ
the wealth you-gather spending time not you-can but
ζωῆς σωρεῦσαι μέτρα περισσότερα.
of-life to-heap-up measures greater

61. ΤΟΥ ΑΥΤΟΥ

61 of-the same

Φεύγετε τοὺς πλουτοῦντας, ἀναιδέας, οἰκοτυράννους,
Flee the being-rich shameless house-tyrants
μισοῦντας πενίην μητέρα σωφροσύνας.
hating poverty mother of-temperance

62. ΤΟΥ ΑΥΤΟΥ

62 of-the same

Οὐ λόγον, οὐ νόμον οἶδε Τύχη, μερόπων δὲ τυραννεῖ,
Not reason not law knows Fortune of-mortals but tyrannizes
τοῖς ἰδίοις ἀλόγως ῥεύμασι συρομένη.
by-the own irrationally by-currents being-swept
μᾶλλον τοῖς ἀδίκοισι ῥέπει, μισεῖ δὲ δικαίους,
more to-the unjust inclines hates and just
ὡς ἐπιδεικνυμένη τὴν ἄλογον δύναμιν.
as displaying the irrational power

63. ΤΟΥ ΑΥΤΟΥ

63 of-the same

Μηδέποτε ζήσας ὁ πένης βροτὸς οὐδ' ἀποθνήσκει·
Never having-lived the poor mortal nor dies
καὶ ζῆν γὰρ δοκέων, ὡς νέκυς ἦν ὁ τάλας.
also to-live for seeming as corpse was the wretch
οἱ δὲ τύχας μεγάλας καὶ χρήματα πολλὰ λαχόντες,
the and fortunes great and possessions many having-got
οὗτοι τὸν θάνατον πτῶσιν ἔχουσι βίου.
these the death fall have of-life

64. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

64 of-Agathias Scholasticus

῾Η ῥά γε ποῦ τὸ φρύαγμα τὸ τηλίκον;
Truly then indeed where the arrogance the so-great
οἱ δὲ περισσοὶ
the and excessive
πῆ ἔβαν ἐξαίφνης ἀγχίποροι κόλακες;
where went suddenly near-going flatterers
νῦν γὰρ ἑκὰς πτόλιος φυγὰς ᾤχεο· τοῖς πρότερον δὲ
now for far from-city exile you-went to-the before and
οἰκτροῖς τὴν κατὰ σοῦ ψῆφον ἔδωκε Τύχη.
pitiable the against you vote gave Fortune
πολλή σοι, κλυτοεργὲ Τύχη, χάρις, οὕνεχ᾽ ὁμοίως
much to-you glorious-working Fortune thanks because equally
πάντας ἀεὶ παίζεις, κεἰσέτι τερπόμεθα.
all always you-mock and-still we-are-delighted

65. ΠΑΛΛΑΔΑ

65 of-Palladas

Πλοῦς σφαλερὸς τὸ ζῆν· χειμαζόμενοι γὰρ ἐν αὐτῷ
Voyage slippery the to-live being-stormed for in it
πολλάκι ναυηγῶν πταίομεν οἰκτρότερα.
often than-shipwrecked we-fall more-pitiably
τὴν δὲ Τύχην βιότοιο κυβερνήτειραν ἔχοντες,
— and Fortune of-life pilot having
ὡς ἐπὶ τοῦ πελάγους, ἀμφίβολοι πλέομεν,
as on the sea doubtful we-sail

οἱ μὲν ἐπ᾽ εὐπλοΐην, οἱ δ᾽ ἔμπαλιν·
the(-ones) indeed to fair-voyage the(-others) and contrariwise
ἀλλ᾽ ἅμα πάντες
but together all
εἰς ἕνα τὸν κατὰ γῆς ὅρμον ἀπερχόμεθα.
to one the under earth anchorage we-depart

66. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

66 of-Agathias Scholasticus

Εὖτέ τις ἐκ πενίης πλούτου τύχοι ἠδὲ καὶ ἀρχῆς,
When anyone from poverty of-wealth gets and also of-rule
οὐκέτι γινώσκει, τίς πέλε τὸ πρότερον.
no-longer knows who he-was the former
τὴν ποτὲ γὰρ φιλίην ἀπαναίνεται· ἀφρονέων δὲ
the once for friendship he-rejects being-foolish and
τέρψιν ὀλισθηρῆς οὐ δεδάηκε Τύχης.
delight of-slippery not has-learned of-Fortune
ἦς ποτε γὰρ πτωχὸς ταλαπείριος· οὐκ ἐθέλεις δέ,
you-were once for beggar wretched not you-wish but
αἰτίζων ἀκόλους, νῦν ἑτέροις παρέχειν.
begging crumbs now to-others to-give
πάντα, φίλος, μερόπεσσι παρέρχεται· εἰ δ᾽ ἀπιθήσεις,
everything dear to-mortals passes-by if but you-disobey
ἔμπαλιν αἰτίζων μάρτυρα σαυτὸν ἔχοις.
again begging witness yourself may-you-have

Memory and Oblivion are each hailed for their own. Agathias argues for women over boys, and asks why men fear death, which comes only once. Macedonius is content to be mocked by hope, and Pandora's jar is laughed at. Palladas calls life a stage and a game, and bids man bear what bears him; Paul praises virtue as the only steady thing. Palladas reflects that men live on a breath which a hand could stop; Paul prizes a mind free of care, enough wealth, and wisdom; Palladas bids man yield to his lot and cast off laments, since this life is short beside what follows, says each day is a new birth and life is Fortune's plaything, and mourns that time runs against us all.

67. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ

67 of-Macedonius the-Consul

Μνήμη καὶ Λήθη, μέγα χαίρετον· ἡ μὲν ἐπ' ἔργοις
Memory and Oblivion greatly hail the(-one) indeed for deeds
μνήμη τοῖς ἀγαθοῖς, ἡ δ', ἐπὶ λευγαλέοις.
memory to-the good the(-other) and for grievous

68. ΑΓΑΘΙΟΥ

68 of-Agathias

Καλὸν μὲν στυγόδεμνον ἔχειν νόον· εἰ δ' ἄρ' ἀνάγκη,
Fair indeed bed-hating to-have mind if but then necessity
ἀρσενικὴ φιλότης μή ποτέ σε κλονέοι.
male love not ever you may-shake
θηλυτέρας φιλέειν ὀλίγον κακόν, οὕνεκα κείναις
women to-love small evil because to-them
κυπριδίους ὀάρους πότνα δέδωκε φύσις.
Cyprian converse lady has-given nature

δέρκεο τῶν ἀλόγων ζῴων γένος· ἦ γὰρ ἐκείνων
look-at of-the irrational of-creatures race truly for of-them
οὐδὲν ἀτιμάζει θέσμια συζυγίης·
none dishonors ordinances of-union
ἄρσενι γὰρ θήλεια συνάπτεται· οἱ δ' ἀλεγεινοὶ
to-male for female is-joined the and grievous
ἄνδρες ἐς ἀλλήλους ξεῖνον ἄγουσι γάμον.
men to one-another strange lead marriage

69. ΤΟΥ ΑΥΤΟΥ

69 of-the same

Τὸν θάνατον τί φοβεῖσθε, τὸν ἡσυχίης γενετῆρα,
The death why do-you-fear the of-quiet begetter
τὸν παύοντα νόσους καὶ πενίης ὀδύνας;
the stopping diseases and of-poverty pains
μοῦνον ἅπαξ θνητοῖς παραγίνεται, οὐδέ ποτ' αὐτὸν
only once to-mortals it-comes nor ever him
εἶδέν τις θνητῶν δεύτερον ἐρχόμενον·
saw anyone of-mortals second coming
αἱ δὲ νόσοι πολλαὶ καὶ ποικίλαι, ἄλλοτ' ἐπ' ἄλλον
the but diseases many and various now on another
ἐρχόμεναι θνητῶν, καὶ μεταβαλλόμεναι.
coming of-mortals and changing

70. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ

70 of-Macedonius the-Consul

Εἰ βίον ἐν μερόπεσσι Τύχης παίζουσιν ἑταῖραι
If life among mortals of-Fortune mock companions
Ἐλπίδες ἀμβολάδην πάντα χαριζόμεναι,
Hopes delaying everything granting
παίζομαι, εἰ βροτός εἰμι. βροτὸς δ' εὖ οἶδα καὶ αὐτὸς
I-am-mocked if mortal I-am mortal and well I-know also myself
θνητὸς ἐών· δολιχαῖς δ' ἐλπίσι παιζόμενος,
mortal being with-long and with-hopes being-mocked
αὐτὸς ἑκοντὶ γέγηθα πλανώμενος, οὐδὲ γενοίμην
myself willingly I-rejoice wandering nor may-I-become
ἐς κρίσιν ἡμετέρην πικρὸς Ἀριστοτέλης.
to judgment our bitter Aristotle
τὴν γὰρ Ἀνακρείοντος ἐνὶ πραπίδεσσι φυλάσσω
the for of-Anacreon in mind I-keep
παρφασίην, ὅτι δεῖ φροντίδα μὴ κατέχειν.
counsel that one-must care not to-hold

71. ΤΟΥ ΑΥΤΟΥ

71 of-the same

Πανδώρης ὁρόων γελόω πίθον, οὐδὲ γυναῖκα
Of-Pandora seeing I-laugh jar nor woman
μέμφομαι, ἀλλ' αὐτῶν τὰ πτερὰ τῶν Ἀγαθῶν.
I-blame but of-them the wings of-the Goods
ὡς γὰρ ἐπ' Οὐλύμποιο μετὰ χθονὸς ἤθεα πάσης
as for over Olympus after of-earth haunts of-all
πωτῶνται, πίπτειν καὶ κατὰ γῆν ὄφελον.
they-fly to-fall also on earth they-ought

ἡ δὲ γυνὴ μετὰ πῶμα κατωχρήσασα παρειὰς
the but woman after lid having-turned-pale cheeks
ὤλεσεν ἀγλαΐην ὧν ἔφερεν χαρίτων.
lost splendor of-which she-bore of-graces
ἀμφοτέρων δ' ἥμαρτεν ὁ νῦν βίος, ὅττι καὶ αὐτὴν
of-both and missed the present life that also her
γηράσκουσαν ἔχει, καὶ πίθος οὐδὲν ἔχει.
growing-old holds and jar nothing holds

72. ΠΑΛΛΑΔΑ

72 of-Palladas

Σκηνὴ πᾶς ὁ βίος καὶ παίγνιον· ἢ μάθε παίζειν,
Stage all the life and game either learn to-play
τὴν σπουδὴν μεταθείς, ἢ φέρε τὰς ὀδύνας.
the seriousness having-put-aside or bear the pains

73. ΤΟΥ ΑΥΤΟΥ

73 of-the same

Εἰ τὸ φέρον σε φέρει, φέρε καὶ φέρου· εἰ δ' ἀγανακτεῖς
If the bearing you bears bear and be-borne if but you-are-vexed
καὶ σαυτὸν λυπεῖς, καὶ τὸ φέρον σε φέρει.
both yourself you-grieve and the bearing you bears

74. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ

74 of-Paul the-Silentiary

Μήτε βαθυκτεάνοιο τύχης κουφίζεο ῥοίζῳ,
Neither of-deep-wealthed of-fortune be-lifted by-rush
μήτε σέο γνάμψῃ φροντὶς ἐλευθερίην.
nor of-you let-bend care freedom
πᾶς γὰρ ὑπ᾽ ἀσταθέεσσι βίος πελεμίζεται αὔραις,
all for by unsteady life is-shaken by-breezes
τῇ καὶ τῇ θαμινῶς ἀντιμεθελκόμενος.
here and there often drawn-back-and-forth
ἡ δ᾽ ἀρετὴ σταθερόν τι καὶ ἄτροπον,
the but virtue steady something and unturning
ἧς ἔπι μούνης
which on alone
κύματα θαρσαλέως ποντοπόρει βιότου.
waves boldly sail of-life

75. ΠΑΛΛΑΔΑ

75 of-Palladas

Ἠέρα λεπταλέον μυκτηρόθεν ἀμπνείοντες
Air slender from-nostrils breathing
ζώομεν, ἠελίου λαμπάδα δερκόμενοι,
we-live of-sun torch seeing
πάντες ὅσοι ζῶμεν κατὰ τὸν βίον· ὄργανα δ᾽ ἐσμέν,
all as-many-as we-live in the life instruments but we-are
αὔραις ζωογόνοις πνεύματα δεχνύμενοι.
by-breezes by-life-giving breaths receiving
εἰ δέ τις οὖν ὀλίγην παλάμῃ σφίγξειεν ἀϋτμήν,
if but someone then small with-hand should-squeeze breath

ψυχὴν συλήσας εἰς ἀΐδην κατάγει.
soul having-robbed into Hades leads-down
οὕτως οὐδὲν ἐόντες, ἀγηνορίῃ τρεφόμεσθα,
so nothing being on-arrogance we-are-nourished
πνοιῆς ἐξ ὀλίγης ἠέρα βοσκόμενοι.
breath from small air feeding

76. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ

76 of-Paul the-Silentiary

Οὐ τὸ ζῆν χαρίεσσαν ἔχει φύσιν, ἀλλὰ τὸ ῥῖψαι
Not the to-live graceful has nature but the to-throw
φροντίδας ἐκ στέρνων τὰς πολιοκροτάφους·
cares from breasts the gray-templed
πλοῦτον ἔχειν ἐθέλω τὸν ἐπάρκιον· ἡ δὲ περισσὴ
wealth to-have I-wish the sufficient the but excessive
θυμὸν ἀεὶ κατέδει χρυσομανὴς μελέτη.
heart always devours gold-mad care
ἔνθεν ἐν ἀνθρώποισιν ἀρείονα πολλάκι δήεις
whence among men better often you-will-find
καὶ πενίην πλούτου, καὶ βιότου θάνατον.
both poverty than-wealth and than-life death
ταῦτα σὺ γινώσκων κραδίης ἴθυνε κελεύθους,
these you knowing of-heart straighten paths
εἰς μίαν εἰσορόων ἐλπίδα, τὴν σοφίην.
to one looking-at hope the wisdom

77. ΠΑΛΛΑΔΑ

77 of-Palladas

Τίπτε μάτην, ἄνθρωπε, πονεῖς καὶ πάντα ταράσσεις,
Why in-vain man you-toil and all you-disturb
κλήρῳ δουλεύων τῷ κατὰ τὴν γένεσιν;
to-lot being-slave to-the at the birth
τούτῳ σαυτὸν ἄφες, τῷ δαίμονι μὴ φιλονείκει·
to-this yourself let-go to-the god not contend
σὴν δὲ τύχην στέργων, ἡσυχίην ἀγάπα·
your and fortune loving quiet love
μᾶλλον ἐπ' εὐφροσύνην δὲ βιάζεο, καὶ παρὰ μοίρην,
more toward good-cheer but force also beyond fate
εἰ δυνατόν, ψυχὴν τερπομένην μετάγειν.
if possible soul delighting to-transfer

78. ΤΟΥ ΑΥΤΟΥ

78 of-the same

Ῥίπτε γόους, μὴ κάμνε, πόσον χρόνον ἐνθάδε μίμνων,
Throw laments not toil how-much time here remaining
ὡς πρὸς ἐκεῖνον ὅλον τὸν μετὰ ταῦτα βίον.
as compared-with that whole the after these life
πρὶν τοίνυν σκώληκα βαλεῖν τύμβοις τε ῥιφῆναι,
before then worm to-throw in-tombs and to-be-cast
μὴ δαμάσῃς ψυχὴν ζῶν ἔτι κρινομένην.
not subdue soul living still being-judged

79. ΤΟΥ ΑΥΤΟΥ

79 of-the same

Νυκτὸς ἀπερχομένης γεννώμεθα ἦμαρ ἐπ᾽ ἦμαρ,
Of-night departing we-are-born day on day
τοῦ προτέρου βιότου μηδὲν ἔχοντες ἔτι,
of-the former of-life nothing having still
ἀλλοτριωθέντες τῆς ἐχθεσινῆς διαγωγῆς,
having-been-estranged from-the of-yesterday from-way-of-life
τοῦ λοιποῦ δὲ βίου σήμερον ἀρχόμενοι.
of-the remaining but of-life today beginning
μὴ τοίνυν λέγε σαυτὸν ἐτῶν, πρεσβῦτα, περισσῶν·
not then call yourself of-years old-man excessive
τῶν γὰρ ἀπελθόντων σήμερον οὐ μετέχεις.
of-the for having-departed today not you-share

80. ΤΟΥ ΑΥΤΟΥ

80 of-the same

Παίγνιόν ἐστι Τύχης μερόπων βίος, οἰκτρός, ἀλήτης,
Plaything is of-Fortune of-mortals life pitiable wanderer
πλούτου καὶ πενίης μεσσόθι ῥεμβόμενος.
of-wealth and of-poverty in-between roving
καὶ τοὺς μὲν κατάγουσα πάλιν σφαιρηδὸν ἀείρει,
and the(-ones) indeed bringing-down again like-a-ball she-raises
τοὺς δ᾽ ἀπὸ τῶν νεφελῶν εἰς ἀΐδην κατάγει.
the(-others) and from the clouds into Hades leads-down

81. ΤΟΥ ΑΥΤΟΥ

81 of-the same

῾Ω τῆς βραχείας ἡδονῆς τῆς τοῦ βίου·
O of-the brief of-pleasure of-the of-the life
τὴν ὀξύτητα τοῦ χρόνου πενθήσατε.
the swiftness of-the time mourn
ἡμεῖς καθεζόμεσθα καὶ κοιμώμεθα,
we sit and sleep
μοχθοῦντες ἢ τρυφῶντες· ὁ δὲ χρόνος τρέχει,
toiling or luxuriating the but time runs
τρέχει καθ᾽ ἡμῶν τῶν ταλαιπώρων βροτῶν,
runs against us of-the wretched of-mortals
φέρων ἑκάστου τῷ βίῳ καταστροφήν.
bringing of-each to-the life end

Palladas asks whether the Greeks are dead men living only in appearance, and calls them men reduced to ashes. Wealth and flatterers spoil the mind. Man is born and dies weeping, and all are fattened for death like swine. He feeds no flatterer. Fortune is a harlot, the body a prison the soul escapes, and Rumor, if a goddess, is angry with the Greeks. Envy is the greatest wickedness, since it hates the man the god loves. He praises a judge, the patience of the god and his slow punishments of the wicked, hates the double man and, seeing Fortune's harlot ways, hates all things, and after a pound of years with grammar goes to Hades a councilor of the dead. Antiphanes bids men enjoy youth, Bianor bids a plowman spare a heifer that leads her calf, and Bassus prefers the mean.

82. ΤΟΥ ΑΥΤΟΥ

82 of-the same

Ἄρα μὴ θανόντες τῷ δοκεῖν ζῶμεν μόνον,
Then not having-died in-the seeming we-live only
Ἕλληνες ἄνδρες, συμφορᾷ πεπτωκότες
Greek men by-misfortune having-fallen
ὄνειρον εἰκάζοντες εἶναι τὸν βίον;
dream imagining to-be the life
ἢ ζῶμεν ἡμεῖς, τοῦ βίου τεθνηκότος;
or live we of-the life having-died

83. ΤΟΥ ΑΥΤΟΥ

83 of-the same

Καὶ τὸ φρονεῖν πλουτεῦντι περίστασις, ὄχλος,
Also the to-think for-the-rich-man crisis crowd
ἀνάγκη…
necessity
†ζώνη ποικίλη καὶ κολάκων ἀνάγκη.
(corrupt) motley and of-flatterers necessity

84. ΤΟΥ ΑΥΤΟΥ

84 of-the same

Δακρυχέων γενόμην, καὶ δακρύσας ἀποθνήσκω·
Shedding-tears I-was-born and having-wept I-die
δάκρυσι δ' ἐν πολλοῖς τὸν βίον εὗρον ὅλον.
tears and in many the life I-found whole
ὦ γένος ἀνθρώπων πολυδάκρυτον, ἀσθενές, οἰκτρόν,
O race of-men much-lamented weak pitiable
φαινόμενον κατὰ γῆς, καὶ διαλυόμενον.
appearing over earth and being-dissolved

85. ΤΟΥ ΑΥΤΟΥ

85 of-the same

Πάντες τῷ θανάτῳ τηρούμεθα, καὶ τρεφόμεσθα
All for-the death are-kept and are-fed
ὡς ἀγέλη χοίρων σφαζομένων ἀλόγως.
as herd of-swine slaughtered senselessly

86. ΤΟΥ ΑΥΤΟΥ

86 of-the same

Οὐ δαψιλῶς μέν, ἀλλ᾽ ὅμως κἀγὼ τρέφω
Not lavishly indeed but nevertheless and-I feed
παῖδας, γυναῖκα, δοῦλον, ὄρνιθας, κύνα·
children wife slave birds dog
κόλαξ γὰρ οὐδεὶς τοὺς ἐμοὺς πατεῖ δόμους.
flatterer for no-one the my treads house

87. ΤΟΥ ΑΥΤΟΥ

87 of-the same

Ἂν μὴ γελῶμεν τὸν βίον τὸν δραπέτην,
If not we-laugh-at the life the runaway
Τύχην τε πόρνην ῥεύμασιν κινουμένην,
Fortune and harlot by-currents moved
ὀδύνην ἑαυτοῖς προξενοῦμεν πάντοτε,
pain for-ourselves we-procure always
ἀναξίους ὁρῶντες εὐτυχεστέρους.
unworthy seeing more-fortunate

88. ΤΟΥ ΑΥΤΟΥ

88 of-the same

Σῶμα, πάθος ψυχῆς, ᾅδης, μοῖρ᾽, ἄχθος, ἀνάγκη,
Body suffering of-soul Hades fate burden necessity
καὶ δεσμὸς κρατερός, καὶ κόλασις βασάνων.
and bond strong and punishment of-tortures

ἀλλ᾽ ὅταν ἐξέλθῃ τοῦ σώματος, ὡς ἀπὸ δεσμῶν
but when it-goes-out of-the body as from bonds
τοῦ θανάτου, φεύγει πρὸς θεὸν ἀθάνατον.
of-the death it-flees to god immortal

89. ΤΟΥ ΑΥΤΟΥ

89 of-the same

Εἰ θεὸς ἡ Φήμη, κεχολωμένη ἐστὶ καὶ αὐτὴ
If goddess — Rumor angered is also she
Ἕλλησι, σφαλεροῖς ἐξαπατῶσα λόγοις.
with-Greeks with-slippery deceiving with-words
Φήμη δ᾽, ἄν τι πάθῃς, ἀναφαίνεται εὐθὺς ἀληθής·
Rumor and if anything you-suffer appears at-once true
πολλάκι καὶ Φήμην ἔφθασεν ἡ ταχυτής.
often even Rumor outstripped the swiftness

90. ΤΟΥ ΑΥΤΟΥ

90 of-the same

Ὦ τῆς μεγίστης τοῦ φθόνου πονηρίας·
O of-the greatest of-the envy of-wickedness
τὸν εὐτυχῆ μισεῖ τις, ὃν θεὸς φιλεῖ.
the fortunate hates someone whom god loves
οὕτως ἀνόητοι τῷ φθόνῳ πλανώμεθα,
so senseless by-the envy we-are-led-astray
οὕτως ἑτοίμως μωρίᾳ δουλεύομεν.
so readily to-folly we-are-slaves
Ἕλληνές ἐσμεν ἄνδρες ἐσποδωμένοι,
Greek we-are men reduced-to-ashes

νεκρῶν ἔχοντες ἐλπίδας τεθαμμένας·
of-dead having hopes buried
ἀνεστράφη γὰρ πάντα νῦν τὰ πράγματα.
was-overturned for all now the affairs

91. ΤΟΥ ΑΥΤΟΥ

91 of-the same

Ὅταν στυγῇ τις ἄνδρα, τὸν θεὸς φιλεῖ,
When hates someone man whom god loves
οὗτος μεγίστην μωρίαν κατεισάγει·
this-one greatest folly brings-in
φανερῶς γὰρ αὐτῷ τῷ θεῷ κορύσσεται,
openly for with-very the god he-arms-himself
χόλον μέγιστον ἐκ φθόνου δεδεγμένος,
anger greatest from envy having-received
δεῖ γὰρ φιλεῖν ἐκεῖνον, ὃν θεὸς φιλεῖ.
one-must for to-love that-one whom god loves

Εἰς ἄρχοντα

On ruler

92. ΤΟΥ ΑΥΤΟΥ

92 of-the same

Ἐπεὶ δικάζεις καὶ σοφιστεύεις λόγοις,
Since you-judge and you-play-the-sophist with-words
κἀγὼ φέρω σοι τῆς ἐμῆς ἀηδόνος
and-I bring to-you of-the my of-nightingale
ἐπίγραμμα σεμνόν, ἄξιον παρρησίας·
epigram solemn worthy of-frankness
ὁ γὰρ σὲ μέλπων τῆς Δίκης ὕμνους χέει.
the for you singing — of-Justice hymns pours

93. ΤΟΥ ΑΥΤΟΥ

93 of-the same

Βέλτερόν ἐστι τύχης καὶ θλιβομένης ἀνέχεσθαι
Better is of-fortune even being-afflicted to-bear
ἢ τῶν πλουτούντων τῆς ὑπερηφανίης.
than of-the being-rich of-the arrogance

94. ΤΟΥ ΑΥΤΟΥ

94 of-the same

Εἶναι νομίζω φιλόσοφον καὶ τὸν θεόν,
To-be I-think philosopher also the god
βλασφημίαις τὸν εὐθὺς οὐ θυμούμενον,
at-blasphemies the at-once not being-angered

χρόνῳ δ' ἐπαυξάνοντα τὰς τιμωρίας
in-time but increasing the punishments
τὰς τῶν πονηρῶν καὶ ταλαιπώρων βροτῶν.
the of-the wicked and wretched mortals

95. ΤΟΥ ΑΥΤΟΥ

95 of-the same

Μισῶ τὸν ἄνδρα τὸν διπλοῦν πεφυκότα,
I-hate the man the double being-by-nature
χρηστὸν λόγοισι, πολέμιον δὲ τοῖς τρόποις.
good in-words hostile but in-the ways

96. ΤΟΥ ΑΥΤΟΥ

96 of-the same

Ὅταν λογισμοῖς καταμάθω τὰ πράγματα,
When by-reasonings I-learn the affairs
καὶ τὰς ἀκαίρους μεταβολὰς τὰς τοῦ βίου,
and the untimely changes the of-the life
καὶ ῥεῦμ' ἄπιστον τῆς ἀνωμάλου Τύχης,
and stream faithless of-the uneven of-Fortune
πῶς τοὺς πένητας πλουσίους ἐργάζεται,
how the poor rich she-makes
καὶ τοὺς ἔχοντας χρημάτων ἀποστερεῖ,
and the having of-possessions deprives
τότε κατ' ἐμαυτὸν τῇ πλάνῃ σκοτούμενος
then by myself by-the error darkened
μισῶ τὰ πάντα, τῆς ἀδηλίας χάριν.
I-hate the all-things of-the uncertainty for-sake

ποίῳ τρόπῳ γὰρ περιγένωμαι τῆς Τύχης,
in-what way for may-I-prevail-over — of-Fortune
τῆς ἐξ ἀδήλου φαινομένης ἐν τῷ βίῳ,
the from uncertain appearing in the life
πόρνης γυναικὸς τοὺς τρόπους κεκτημένης;
of-harlot of-woman the ways having-acquired

97. ΤΟΥ ΑΥΤΟΥ

97 of-the same

Λίτραν ἐτῶν ζήσας μετὰ γραμματικῆς βραχυμόχθου,
Pound of-years having-lived with grammar short-toiled
βουλευτὴς νεκύων πέμπομαι εἰς ἀΐδην.
councilor of-dead I-am-sent to Hades

98. ΤΟΥ ΑΥΤΟΥ

98 of-the same

Πᾶς τις ἀπαίδευτος φρονιμώτατός ἐστι σιωπῶν,
Every one uneducated most-wise is being-silent
τὸν λόγον ἐγκρύπτων, ὡς πάθος αἰσχρότατον.
the speech hiding as affliction most-shameful

99. ΤΟΥ ΑΥΤΟΥ

99 of-the same

Πολλάκι, Σέξστ', ἔστησα τεὴν φιλότητα καὶ ὕβριν·
Often Sextus I-weighed your friendship and insolence
καὶ πολὺ κουφοτέρην τὴν φιλότητα μαθών,
and much lighter the friendship having-learned

λοιδορίην δὲ ῥέπουσαν, ἐχωρίσθην φιλότητος,
abuse and outweighing I-was-separated from-friendship
μηκέτι βαστάζων ὕβριν ἀτιμοτάτην.
no-longer bearing insolence most-dishonorable

100. ΑΝΤΙΦΑΝΟΥΣ

100 of-Antiphanes

Ἀνθρώποις ὀλίγος μὲν ὁ πᾶς χρόνος, ὅν ποτε δειλοὶ
To-men small indeed the whole time which ever wretched
ζῶμεν, κἢν πολιὸν γῆρας ἅπασι μένῃ·
we-live even-if gray old-age for-all remains
τῆς δ' ἀκμῆς καὶ μᾶλλον. ὅτ' οὖν χρόνος ὥριος ἡμῖν,
of-the and prime and more when then time seasonable for-us
πάντα χύδην ἔστω, ψαλμός, ἔρως, προπόσεις.
all in-profusion let-be harping love toasts
χειμὼν τοὐντεῦθεν γήρως βαρύς· οὐδὲ δέκα μνῶν
winter from-then of-old-age heavy not-even ten minae
στύσεις· τοιαύτη σ' ἐκδέχετ' ὀρχιπέδη.
you-will-stiffen such you awaits testicle-fetter

101. ΒΙΑΝΟΡΟΣ

101 of-Bianor

Ἠνίδε καὶ χέρσου τὸ γεωτόμον ὅπλον ἐρέσσει
Behold also of-dry-land the earth-cutting implement plies
καὶ τὸν ὑπουθατίαν μόσχον ἄγει δάμαλις,
and the under-udder calf leads heifer

βούταν μὲν τρομέουσα διώκτορα, τὸν δὲ μένουσα
plowman indeed trembling-at pursuer him but awaiting
νήπιον, ἀμφοτέρων εὔστοχα φειδομένη.
infant of-both well-aimed sparing
ἴσχες, ἀροτροδίαυλε, πεδώρυχε, μηδὲ διώξῃς
stop plow-turning ground-digger nor pursue
τὰν διπλοῖς ἔργοις διπλὰ βαρυνομέναν.
the with-double with-works doubly being-weighed-down

102. ΒΑΣΣΟΥ

102 of-Bassus

Μήτε με χείματι πόντος ἄγοι θρασύς, οὐδὲ γαλήνης
Neither me in-storm sea may-lead bold nor of-calm
ἀργῆς ἠσπασάμην τὴν πάλι νηνεμίην.
idle I-welcomed the again windlessness
αἱ μεσότητες ἄρισται· ὅπῃ δέ τε πρήξιες ἀνδρῶν,
the means best where and and deeds of-men
καὶ πάλι μέτρον ἐγὼ τἄρκιον ἠσπασάμην.
and again measure I the-sufficient welcomed
τοῦτ᾽ ἀγάπα, φίλε Λάμπι, κακὰς δ᾽ ἔχθαιρε θυέλλας·
this love dear Lampis evil but hate storms
εἰσί τινες πρηεῖς καὶ βιότου Ζέφυροι.
there-are some gentle also of-life Zephyrs

Philodemus advises patience with the price of figs, and Crates hails Frugality. Theodorus rejoices at a death, but all are owed to death. Many bear the wand but few are bacchants. Euripides says no mortal is happy without the god, and Zeus is prayed to for good things unasked. Words without deeds are vain, and Aeschylus warns against rearing a lion in a city. Envy destroys itself, and wine, baths, and love speed men to Hades. A man wishes to live on little, poverty is Tantalus' punishment, marriage is a storm, and Phocylides is a true friend. Rarus fears a feigned friend more than an open enemy, Lucillius sees the divine bring the great low, and Aesop finds no escape from life but death. All is laughter and dust, children are cares and a bad wife makes life bitter, friends are rare, and a useful servant is a good thing.

103. ΦΙΛΟΔΗΜΟΥ

103 of-Philodemus

Τὴν †προτερον θυμέλην μήτ' ἔμβλεπε, μήτε παρέλθῃς·
The (corrupt) stage neither look-at nor pass-by
νῦν ἄπαγε δραχμῆς εἰς κολοκορδόκολα.
now take-off for-a-drachma to sausage-stuffing
καὶ σῦκον δραχμῆς ἓν γίνεται· ἢν δ' ἀναμείνῃς,
and fig for-a-drachma one is if but you-wait
χίλια. τοῖς πτωχοῖς ὁ χρόνος ἐστὶ θεός.
thousand to-the poor the time is god

104. ΚΡΑΤΗΤΟΣ ΦΙΛΟΣΟΦΟΥ

104 of-Crates the-Philosopher

Χαῖρε θεὰ δέσποιν', ἀνδρῶν ἀγαθῶν ἀγάπημα,
Hail goddess mistress of-men of-good darling
Εὐτελίη, κλεινῆς ἔγγονε Σωφροσύνης·
Frugality of-famous offspring of-Temperance
σὴν ἀρετὴν τιμῶσιν ὅσοι τὰ δίκαι' ἀσκοῦσιν.
your virtue honor as-many-as the just practice

105. ΣΙΜΩΝΙΔΟΥ

105 of-Simonides

Χαίρει τις Θεόδωρος, ἐπεὶ θάνον· ἄλλος ἐπ' αὐτῷ
Rejoices one Theodorus since I-died another over him
χαιρήσει. θανάτῳ πάντες ὀφειλόμεθα.
will-rejoice to-death all we-are-owed

106. ΑΔΗΛΟΝ

106 uncertain

Πολλοί τοι ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι.
Many you-know wand-bearers few and and bacchants

107. ΕΥΡΙΠΙΔΟΥ

107 of-Euripides

Θεοῦ μὲν οὐδεὶς ἐκτὸς εὐτυχεῖ βροτός.
Of-god indeed no-one apart fares-well mortal
φεῦ τῶν βροτείων ὡς ἀνώμαλοι τύχαι·
alas of-the mortal how uneven fortunes

οἱ μὲν γὰρ εὖ πράσσουσι, τοῖς δὲ συμφοραὶ
the(-ones) indeed for well fare to-the(-others) and misfortunes
σκληραὶ πάρεισιν εὐσεβοῦσι πρὸς θεούς.
harsh are-present being-pious toward gods

108. ΑΔΗΛΟΝ

108 uncertain

Ζεῦ βασιλεῦ, τὰ μὲν ἐσθλὰ καὶ εὐχομένοις καὶ ἀνεύκτοις
Zeus king the indeed good both to-praying and to-unpraying
ἄμμι δίδου· τὰ δὲ λυγρὰ καὶ εὐχομένων ἀπερύκοις.
to-us give the but baneful even of-praying may-you-ward-off

109. ΑΔΗΛΟΝ

109 uncertain

Πᾶς λόγος ἐστὶ μάταιος ὁ μὴ τετελεσμένος ἔργῳ·
Every word is vain the not accomplished by-deed
καὶ πᾶσα πρᾶξις τὸν λόγον ἀρχὸν ἔχοι.
and every action the word leader may-have

110. ΑΙΣΧΥΛΟΥ

110 of-Aeschylus

Οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν·
Not one-must of-lion whelp in city to-rear
μάλιστα μὲν λέοντα μὴ πόλει τρέφειν·
most indeed lion not in-city to-rear
ἢν δ' ἐκτραφῇ τις, τοῖς τρόποις ὑπηρετεῖν.
if but is-reared one to-the ways to-be-subservient

111. ΑΔΗΛΟΝ

111 uncertain

Ὁ φθόνος αὐτὸς ἑαυτὸν ἑοῖς βελέεσσι δαμάζει.
The envy itself itself with-its-own with-arrows subdues

112. ΑΔΕΣΠΟΤΟΝ

112 anonymous

Οἶνος καὶ τὰ λοετρὰ καὶ ἡ περὶ Κύπριν ἐρωὴ
Wine and the baths and the about Cypris rush
ὀξυτέρην πέμπει τὴν ὁδὸν εἰς ἀΐδην.
sharper send the road to Hades

113. ΑΔΕΣΠΟΤΟΝ

113 anonymous

Οὐκ ἐθέλω πλουτεῖν, οὐκ εὔχομαι· ἀλλά μοι εἴη
Not I-wish to-be-rich not I-pray but for-me may-it-be
ζῆν ἐκ τῶν ὀλίγων μηδὲν ἔχοντα κακόν.
to-live from the few nothing having evil

114. ΑΔΗΛΟΝ

114 uncertain

Ἦ κρίσις ἐστὶ κάτω καὶ Τάνταλος· οὐδὲν ἀπιστῶ,
Truly judgment is below and Tantalus nothing I-disbelieve
τῇ πενίῃ μελετῶν τὴν ὑπὸ γῆν κόλασιν.
in-the poverty practicing the under earth punishment

115. ΑΔΗΛΟΝ

115 uncertain

Ζῆσον λογισμῷ, καὶ μενεῖς ἀνενδεής.
Live by-reckoning and you-will-remain without-want

116. ΑΔΗΛΟΝ

116 uncertain

"Οὐκ ἔστι γήμας, ὅστις οὐ χειμάζεται,"
Not is having-married who not is-storm-tossed
λέγουσι πάντες, καὶ γαμοῦσιν εἰδότες.
say all and marry knowing

117. ΦΩΚΥΛΙΔΟΥ

117 of-Phocylides

Γνήσιός εἰμι φίλος, καὶ τὸν φίλον ὡς φίλον οἶδα,
Genuine I-am friend and the friend as friend I-know
τοὺς δὲ κακοὺς διόλου πάντας ἀποστρέφομαι·
the but wicked utterly all I-turn-away
οὐδένα θωπεύω πρὸς ὑπόκρισιν· οὓς δ' ἄρα τιμῶ,
no-one I-flatter for pretense whom but then I-honor
τούτους ἐξ ἀρχῆς μέχρι τέλους ἀγαπῶ.
these from beginning until end I-love

118. ΑΔΗΛΟΝ

118 uncertain

Πῶς γενόμην; πόθεν εἰμί; τίνος χάριν ἦλθον; ἀπελθεῖν;
How I-was-born whence I-am of-what for-sake I-came to-depart
πῶς δύναμαί τι μαθεῖν, μηδὲν ἐπιστάμενος;
how can-I something to-learn nothing knowing
οὐδὲν ἐὼν γενόμην· πάλιν ἔσσομαι ὡς πάρος ἦα·
nothing being I-was-born again I-will-be as before I-was
οὐδὲν καὶ μηδὲν τῶν μερόπων τὸ γένος.
nothing and naught of-the mortals the race
ἀλλ᾽ ἄγε μοι Βάκχοιο φιλήδονον ἔντυε ναῦμα·
but come for-me of-Bacchus pleasure-loving prepare stream
τοῦτο γάρ ἐστι κακῶν φάρμακον ἀντίδοτον.
this for is of-ills remedy antidote

119. ΑΔΗΛΟΝ

119 uncertain

Σώματα πολλὰ τρέφειν, καὶ δώματα πόλλ᾽ ἀνεγείρειν
Bodies many to-feed and houses many to-raise
ἀτραπὸς εἰς πενίην ἐστὶν ἑτοιμοτάτη.
path to poverty is readiest

120. ΑΔΗΛΟΝ

120 uncertain

Πᾶσα γυνὴ φιλέει πλέον ἀνέρος· αἰδομένη δὲ
Every woman loves more than-man ashamed but
κεύθει κέντρον ἔρωτος, ἐρωμανέουσα καὶ αὐτή.
hides goad of-love love-mad and herself

121. ΡΑΡΟΥ

121 of-Rarus

Οὐχ οὕτω βλάπτει μισεῖν ὁ λέγων ἀναφανδόν,
Not so harms to-hate the saying openly
ὥσπερ ὁ τὴν καθαρὰν ψευδόμενος φιλίαν.
as the(-one) the pure feigning friendship
τὸν μὲν γὰρ μισοῦντα προειδότες ἐκτρεπόμεσθα,
the indeed for hating foreseeing we-avoid
τὸν δὲ λέγοντα φιλεῖν οὐ προφυλασσόμεθα.
the but saying to-love not we-guard-against
ἐχθρὸν ἐγὼ κρίνω κεῖνον βαρύν, ὅς ποτε λάθρῃ
enemy I judge that-one heavy who ever secretly
τὴν ἀπὸ τῆς φιλίας πίστιν ἔχων ἀδικεῖ.
the from the friendship trust having wrongs

122. ΛΟΥΚΙΛΛΙΟΥ

122 of-Lucillius

Πολλὰ τὸ δαιμόνιον δύναται, κἂν ᾖ παράδοξα·
Much the divinity can even-if it-be unexpected
τοὺς μικροὺς ἀνάγει, τοὺς μεγάλους κατάγει·
the small raises the great brings-down
καὶ σοῦ τὴν ὀφρὺν καὶ τὸν τῦφον καταπαύσει,
also of-you the brow and the vanity will-stop
κἂν ποταμὸς χρυσοῦ νάματά σοι παρέχῃ.
even-if river of-gold streams to-you provide
οὐ θρύον, οὐ μαλάχην ἄνεμός ποτε, τὰς δὲ μεγίστας
not rush not mallow wind ever the but greatest
ἢ δρύας ἢ πλατάνους οἶδε χαμαὶ κατάγειν.
either oaks or planes knows to-ground to-bring-down

123. ΑΙΣΩΠΟΥ

123 of-Aesop

Πῶς τις ἄνευ θανάτου σε φύγοι, βίε; μυρία γάρ σευ
How anyone without death you may-escape life countless for of-you
λυγρά· καὶ οὔτε φυγεῖν εὐμαρές, οὔτε φέρειν.
baneful-things and neither to-flee easy nor to-bear
ἡδέα μὲν γάρ σου τὰ φύσει καλά, γαῖα, θάλασσα,
sweet indeed for of-you the by-nature fair earth sea
ἄστρα, σεληναίης κύκλα καὶ ἠελίου·
stars of-moon orbs and of-sun
τἄλλα δὲ πάντα φόβοι τε καὶ ἄλγεα·
the-rest but all fears both and pains
κῆν τι πάθῃ τις
and-if anything may-suffer anyone
ἐσθλόν, ἀμοιβαίην ἐκδέχεται νέμεσιν.
good requiting awaits retribution

124. ΓΛΥΚΩΝΟΣ

124 of-Glycon

Πάντα γέλως, καὶ πάντα κόνις, καὶ πάντα τὸ μηδέν·
All laughter and all dust and all the nothing
πάντα γὰρ ἐξ ἀλόγων ἐστὶ τὰ γινόμενα.
all for from irrational are the happening

124 a. ΑΔΗΛΟΝ

124 a uncertain

Φροντίδες οἱ παῖδες· μέγα μὲν κακόν, εἴ τι πάθοιεν·
Cares the children great indeed evil if anything they-suffer
εἰσὶ δὲ καὶ ζῶντες φροντίδες οὐκ ὀλίγαι.
are but even living cares not few
ἡ γαμετή, χρηστὴ μὲν ἔχει τινὰ τέρψιν ἐν αὐτῇ,
the wife good indeed has some delight in her
ἡ δὲ κακὴ πικρὸν τὸν βίον ἀνδρὶ φέρει.
the but bad bitter the life to-man brings

125. ΑΔΗΛΟΝ

125 uncertain

Πρᾶγμα μέν ἐσθ' ὁ φίλος πάνυ δύσκολον·
Thing indeed is the friend very difficult
εἰσὶ δὲ πολλοί,
are but many
καὶ σχεδὸν οἱ πάντες, μέχρι προσηγορίας.
and nearly the all up-to address

126. ΑΔΗΛΟΝ

126 uncertain

Χρησαμένῳ θεράπων ὁ χρήσιμός ἐστ' ἀγαθόν τι·
To-the-one-using servant the useful is good something
αὐτάρκης δὲ κακὸν τῶνδ' ὁ πονηρότερος.
sufficient but evil of-these the more-wicked
